eſt, procreetur. Nam corporum compactione irritationibus quæ in congreſſu titillant, deturbata, vt qui profeſſi ſunt nuptialia myſteria nobis explicant, quidquid eſt, quod medullam præſeferat in ſanguine, & fœcundiſſimum, quod fuerit os molle, ex omnibus recollectum membris, in ſpumam conuerſum, & in grumos concretum per inſtrumenta genitalia in animatam mulieris terrã eiaculatur. Non incongrue itaque & pater & mater propter id derelinquendi eſſe dicuntur, omnibus tum confeſtim e memoria dilabentibus, quando beneuolis iunctus cum muliere amplexibus deſiderio abripitur generandi, exhibens diuino opifici coſtam, aufe-

ἕτερος ἄνθρωπος, ὡς ἔφην, ἀναπληρωθῇ. Ἐκταρασσομένης γὰρ τῆς ἁρμονίας τῶν σωμάτων ἐν τοῖς κατὰ τὴν συνουσίαν ἐρεθισμοῖς, ὡς οἱ τετελεσμένοι τὴν γαμήλιον ἡμᾶς διδάσκουσι τελετήν, πᾶν τὸ μυξῶδες τοῦ αἵματος, καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν ἐκ πάντων ἐπαθροιζόμενον τῶν μελῶν ἀφροποιήσαν, καὶ θρομβωθέν, διὰ τῶν παιδογόνων ὀργάνων εἰς τὴν ἔμψυχον τῆς θηλείας ἐξακοντίζεται γῆν. Εἰκότως ἄρα ἕνεκεν τούτου καταλιπεῖν λέλεκται τὸν πατέρα καὶ τὴν μητέρα, τότε πάντων ἀθρόως ἀμνημονήσας. ὅτε φιλοστόργοις ἑνούμενος τῇ γυναικὶ συμπλοκαῖς, κάτοχος ἐπιθυμίας γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ θείῳ τὴν πλευ-

ρὸν δημιουργῶν. ὅπως δὲ ἐξ υἱοῦ δὴ, καὶ αὐτὸς πατὴρ πάλιν ἐκφανῇ. ἐκοινῇ εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ Θεοῦ, πῶς οὐ βδελυρὸν τὸ βδελύσσεσθαι τὴν παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἀμιάντοις ὁ παντοκράτωρ ἐργαζόμενος χερσί. Πρὸ τοῦ γάρ με πλάσαι σε ἐν κοιλίᾳ μητρὸς, ἐπίσταμαί σε, τῷ Ἱερεμίᾳ φησί. τῷ δὲ Ἰὼβ, μὴ σὺ λαβὼν πηλὸν ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ τῆς γῆς, καὶ ὁ Ἰὼβ δὲ πρὸς αὐτὸν εὐσεβῶς φέρεται λέγων, ὅτι, αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. Πῶς δὲ οὐκ ἄτοπον τὸ, ἀπαγορεύεσθαι γάμων συναλλαγὰς προσδοκωμένων ἔτι καὶ μεθ' ἡμᾶς ἔσεσθαι μαρτύρας, καὶ τῶν ἀντιτασσομένων τῷ πονηρῷ, δι' οὓς δὴ καὶ τὰς ἡ-

rendam: vt & ipſe ex filia rurſum pater euadat. Cum etiam-num itaque Deus hominem creat, qua ratione execrandum non fuerit filiorum procreationem execrari, quã immaculatis ipſe manibus omnipotens efficiens, non erubeſcit. [a]Prius quam te formarem in vtero, noui te. *Hieremiæ dicit, & Iobo,* [b]Num tu accipiens lutum formaſti animal, & feciſti, vt loqueretur in terra? *& Iobus ipſe eundem pie alloquitur,* Manus tuæ fecerunt me, & plaſmauerunt me. *Et quomodo non fuerit abſurdum, nuptiarum commercia prohiberi, quæ poſt nos teſtes futuræ ſunt eorum etiam, qui ſeſe improbo op-*

a *Ierem.* 1. 5.　　b *Iob.* 10. 8.

ponent, propter quos & dies [a] breuiandos eſſe *enunciauit. Etenim ſi malum, vt tu dixeras, inde apud Deum reputatur liberorum procreatio, quam ob cauſam qui præter placitum & conſilium diuinum procreantur rurſus complaciti Deo adſiſtere poterunt? & quomodo quod naſcitur, non neceſſario erit adulterinum, nec gratum Deo, ſi præter mentem, & præceptum facultatis, inſtar adulterini nummi efformatur? vt demus etiam hominibus, homines effingere poſſe. Tum Marcella, ſermonem interpellans, o Theophila, enormis error, inquit, & dictis tuis contrarius apparet, & putas ne te ſimili nebula diſiecta latere poſſe? Nanque argu-*

μέρας ἐπηγγείλατο κολοβωθήσεσθαι. εἰ γὰρ φαῦλον ὡς ἔφης ἀπεντεῦθεν νενόμισται τῷ Θεῷ παιδοποιεῖν, δι' ἣν αἰτίαν οἱ παρὰ τὸ δόγμα γινόμενοι, καὶ τὴν βουλὴν τὴν θείαν, εὐάρεστοι δυνήσονται πάλιν παραστῆναι τῷ Θεῷ; ἢ πῶς οὐκ ἀνάγκη εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφιλὲς τὸ τεχθέν, εἰ παρὰ τὴν γνώμην, καὶ τὸ διάταγμα δίκην παραχαράγματος πλάττεται τῆς δυνάμεως; ἵνα δὴ καὶ ἀνθρώπους δυνάσθαι δῶμεν ἀνθρωποπλαστεῖν. καὶ ἡ Μαρκέλλα ὑπολαβοῦσα, ὦ Θεοφίλα, μέγα σφάλμα, ἔφη, καὶ ἐναντίον οἷς εἶπας ἀναφαίνεται, καὶ οἴει λεληθέναι παρωσαμένη τηλικοῦτον νέφος. ἥκει γὰρ ἐκεῖνος ὁ λόγος, ὃν ἴσως

a *Matth.* 24.22. *Marc.* 13. 21.

ἐπερωτῶν σε τίς, ὦ σοφωτάτη, λέξει περὶ τῶν ἐκ μοιχείας ἀνόμως φυομένων· Τί φῂς; ἔδωκας γὰρ εἰσελθεῖν εἰς τὸν κόσμον ἀμήχανον εἶναι καὶ ἀδυνάτον, μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς δυνάμεως, κατασκευασθέντος αὐτῷ τοῦ σκηνώματος παρὰ τοῦ Θεοῦ. καὶ ἵνα μὴ καταφύγῃς εἰς τεῖχον ἐχέγγυον, προϊσχομένη τὴν λέγουσαν γραφήν. Τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα, ἀποκρούσεταί σε πρᾴως εἰπών. ὅτι μὲν καὶ τελεσφόροις πολλαχῶς ὠδῖσιν ὥριμον καρπὸν τὸν ἐκ παρανόμων συλληφθέντας ὧδε συναλλαγῶν ὁρῶμεν φυομένους. Εἰ δ' αὖ πάλιν σοφιζομένη φαίης. ὡς οὐ-

argumentum incidit, de quo diſquirens quiſpiam, ſciſcitabitur a te vti ſapientiſſima, de ijs, qui ex adulterio naſcuntur, Quid ais? Conceſſiſti ſiquidem, fieri non poſſe, ſic conceptos ni conſilio facultatis manuducantur, extructo illis a Deo tabernaculo, in mundum ingredi. Et ne confugias ad murum fide dignum, promens ſcripturam aſſerentem,[a] adulterorum filij maturitatem non conſequentur, *refellet te leniter, ſi dixerit, nos ſæpius conſpicere doloribus fœtum ad perfectionem producentibus veluti maturum fructum eos, qui ex iniquis hiſce congreſſibus concipiuntur, generari. Quod ſi rurſus argute vafreque ratiocinans dixeris, At ego maturitatem non con-*

a Sap. 3. 16.

ſequi de ijs, qui iuſtitia per Chriſtum inſtituta non perficiuntur, prolatum eſſe aſſeruerim. Verumtamen, o Beata, multi ex iniuſto ſemine prognati non tantum in grege fratrum adnumerantur, ſed multis etiam modis præſidere alijs ſorte leguntur. Quare, cum iam pateat, & nemo id inficias iuerit, ex adulterio nata ad perfectionem adduci; non eſt opinandum de conceptibus & partubus ſpiritum eſſe vaticinatum; ſed de ijs fortaſſe, qui veritatem adulterantes, & falſis ſpurijſque dogmatibus ſcripturas corrumpentes, non dum ad perfectionem deductam ſapientiam, fraude erroreque cum pietate commixtis, progenerant. Quapropter hac

τως ἐγὼ τὸ ἀτελεσφόρητον, ἐπὶ τῶν μὴ τελειουμένων ἡγοῦμαι τάσσεσθαι τῇ χριστοδιδάκτῳ δικαιοσύνῃ, λελέχθαι. Καὶ μὴν, ὦ μακαρία, πλεῖστοι τεχθέντες ἐξ ἀδίκου σπορᾶς οὐδὲν ἧσσον οὐ μόνον τῇ ποίμνῃ συναγελάζεσθαι καταριθμοῦνται τῶν ἀδελφῶν, ἀλλὰ καὶ προκαθηγεῖσθαι τούτων κληροῦνται πολλαχῶς. Οὐκοῦν ὄντος φανεροῦ, καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ νομίζειν συλλήψεων πέρι, καὶ τοκετῶν τὸ πνεῦμα προπεφητευκέναι. ἀλλ' ἴσως περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις ναθεύοντες δόγμασι τὰς γραφὰς ἀτελεσφόρητον γεννῶσι σοφίαν τῇ θεοσεβίᾳ συγκιρνῶντες τὴν πλάνην. διὸ δὴ καὶ ταύ-

της τῆς προφάσεως ἐξηρημένης, ἴθι δὴ εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος ἀπόκριναι γεννῶνται τοῦ Θεοῦ. ἔφης γὰρ εἶναι ἀδυνάτον ἀνθρώπου τελεσφορουμένην γονὴν, μὴ μορφῶσαι αὐτὴν, ἢ ἐμψυχῶσαι τὸν Κύριον. Ἡ δὲ ὥσπερ ὑπὸ γενναίου ληφθεῖσα τὴν μέσον ἀνταγωνιστοῦ, ἐσκοτοδινίασε, καὶ μάλα μόλις ἀναπνεύσασα, ἔφη. Ἐρωτᾶς ἐρώτημα διὰ παραδείγματος, ὦ μακαρία, χρῆζον ἀποδειχθῆναι, ἵνα ἔτι μᾶλλον εἰδῇς, ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διήκουσα τοῦ Θεοῦ, πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς γόνιμον φυτευόμενα γῆν. οὐ γὰρ τὸ σπειρόμενον αἰτιᾶται, ἀλ-

quoque tergiuerſatione exempta age iam reſponde; An quæ ex adulterio naſcuntur, ita Deo annuente procreantur? Nanque dixeras, fieri minime poſſe, hominis fœtum ad perfectionem tendentem non efformari, aut animari a Domino. Tum illa veluti a generoſo antagoniſta, per medium arrepta & vertigine rotata conticuit, & vix tandem recepto anhelitu infit. Interrogatio tua, o Beata, exemplo declarari indiget, vt magis ac magis intelligas, in omnia facultatem Numinis effectricem perpetrantem, in hominum potiſſimum generatione, per ſe operari, tanquam quæ creſcere faciat, quæ in fœcunda terra plantantur: neque enim quod ſeminatur, ſed eum, qui furtiuis nuptijs in

 alte-

alienum agrum, veluti mercenarius propter modicam voluptatem proprium inuerecunde ſemen pretio diuendit, criminatur. Noſtram porro productionem in vitam compara ædi, introitum prope montibus excelſis habenti, quæ per loca decliuia ab ingreſſu maxime diſiuncta, longe infra tendat; & poſtica ſui parte eaque orbiculata multis foraminibus perforatur. Comparo, reſpondit Marcella. Concipe itaque cogitatione, Plaſtem intus ſedentem multas conficere ſtatuas; & illi materiam luti per extranea foramina a multis hominibus nullo eorum artificem inſpectante ſuppeditari, Fac etiam vniuerſam

λὰ τὸν εἰς ἀλλοτρίαν ἄρουραν κλεψιγάμοις εὐναῖς εἶτα μισθωτὸν ὀλίγης ἡδονῆς τὴν ἰδίαν ἀναισχύντως πιπράσκοντα σποράν. ἀπείκασον γὰρ τοιούτῳ τινὶ τὴν ἡμετέραν γένεσιν εἰς τὸν βίον, οἷον οἴκῳ παρακειμένην ἔχοντι τὴν εἴσοδον ὄρεσιν ὑψηλοῖς, διήκειν δὲ τὸν οἶκον ἐπὶ πολὺ κάτω μέχρι μακρὰν τῆς εἰσόδου, ἔχοντα πολλὰς ὀπὰς ἐκ τῶν ὀπίσω, καὶ περιφερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα. ἀπεικάζω ἔφη ἡ Μαρκέλλα. Οὐκοῦν ὑπόλαβε ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην πολλοὺς ἀνδριάντας, τούτῳ δ' αὖ τὴν ὕλην τοῦ πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πολλῶν ἀνθρώπων ἀνενδεῶς χορηγεῖσθαι, οὐδενὸς αὐτῶν ὁρῶντος τὸν τεχνίτην. δὸς δὲ κεκαλύφθαι τὸν οἶκον ὁμίχλῃ καὶ νεφέ-

λαις. καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανές, ἢ μόνας τὰς ὀπάς. Δεδόσθω, ἔφη, καὶ τοῦτο. Ἔχειν τε ἕκαστον αὐτῶν τῶν ξυμπονούντων εἰς τὴν τοῦ πηλοῦ συγκομιδὴν ἀπονενεμημένην αὐτῷ μίαν ὀπήν, εἰς ἣν μόνην αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀποτίθεσθαι μὴ ἁπτόμενον ἑτέρας. Εἰ δ' αὖ περιέργως ἀνεῳγνύαι τὴν ἑτέρῳ κεκληρωμένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλεῖται. ἀπειλητέον καὶ γάρ. Οὐκοῦν τὸ μετὰ ταῦτα λειπὸν δὴ θεώρησον, ἔνδοθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπάς, καὶ τὸν εἰσκομιζόμενον ἐν ἑκάστῃ πηλὸν κατ' ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσαντα, πά-

domum caligine & nebulis obſideri, nihilq; ijs, qui deforis ſunt, clari ac certi inſinuari, niſi ſola foramina. Concedatur, inquit, & hoc. Præterea cuique illorum, qui laborem in luto adducendo conferunt, vnum foramen aſſignatum eſſe, in quod ſolum, a reliquis alijs manus abſtinens, quilibet propriam materiam quam affert reponere debet: quod ſi curioſius, quod alteri concreditum eſt, aperire foramen aggrediatur, igne & verberibus caſtigandum venire. Minis enim agendum eſt. Quod poſtea conſequitur, ſpeculare, intus Plaſtem illum circum foramina gradientem, appoſitum in ſingulis lutum ſeparatim accipientem in ſtatuam effingere, & procedentibus menſibus ab ſeſe confictа rurſus ijs, qui foris

 de

degunt, per idem foramen reddere, qui Plaſtes præcepto obligatur, omne lutum operationi aptum indifferenter perficere, licet in alienum ab aliquo inique foramen immiſſum fuerit. Neque enim inique egiſſe videtur materia impoſita, quæ veluti nulli culpæ obnoxia fingenda atque efformanda eſt, qui vero contra præceptũ mandatumque in alienum foramen eam repoſuit, veluti communis aliorum pernicies, & præcepti violator puniendus venit. Neq; enim lutum incuſandum eſt, ſed qui præter ius faſque ſimilia perpetrauit. Intemperantiæ ſiquidem cauſa in alienum deferens foramen clam violenterque appoſuit. Veriſſima narras. His præ-

λιν ἀποδιδόναι τοῖς ἔξω διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολὴν πάντα τὸν δυνάμενον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργάζεσθαι, κἂν εἰς ἀλλοτρίαν ὑπό τινος εἰσοχετεύηται κακοτρόπως ὀπήν. οὐδὲν γὰρ ἠδικηκέναι τὴν ὕλην δοκεῖ τὴν καταβληθεῖσαν, αὐτὴν μὲν χρῆναι πλάττεσθαι, καὶ μορφοῦσθαι. τὸν δὲ παρὰ τὸ διάταγμα, καὶ τὴν ἐντολὴν εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπήν, τοῦτον ὡς ἀλάστορά τε, καὶ παραβάτην τιμωρεῖσθαι. οὐ γὰρ τὸν πηλὸν αἰτιατέον, ἀλλ' ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο πεποιηκότα. ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπήν, ἀπέθετο λαθραίως τῇ βίᾳ. Ἀληθέστατα λέγεις. Οὔκουν λοιπὸν δὴ και-

ρὸς τούτων ἤδη προδιηγησαμένων, ταύτην σε πᾶσαν προσάπτειν, ὦ σοφωτάτη, τὴν εἰκόνα τοῖς ἤδη ἔμπροσθεν εἰρημένοις. τὸν μὲν οἶκον ἀφομοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως ἡμῶν φύσει· τὴν δὲ περικειμένην εἴσοδον τοῖς ὄρεσι, τῇ ἀπὸ τῶν οὐρανῶν εἰς τὰ σώματα καταβάσει, καὶ παραπομπῇ τῶν ψυχῶν. τὰς δὲ ὀπὰς τῷ γυναικείῳ τε καὶ θηλυκῷ γένει. τὸν δὲ πλάστην τῇ ποιητικῇ δυνάμει τοῦ Θεοῦ, ἥτις αἰτία τῆς γενέσεως ἡμῶν, ὡς ἔφην, τῇ φύσει χρωμένης ἐστί. αὕτη δὲ ἴσως ἀνθρωποπλαστεῖ, τὰ ἐνδύματα ταῖς ψυχαῖς ἐργαζομένη. σὺ δὲ νομίζοντας τὴν ὕλην τοῦ πηλοῦ τῷ ἀνδρείῳ καὶ ἀρρενωπῷ παραβλητέον, ὁπότε διψήσαντες τέκνων εἰς τοὺς κατὰ φύσιν τῆς θηλείας πόρους ἐγκαταβάλλουσι τὴν σπορὰν,

miſſis tempus iam eſt, hanc vniuerſam imaginem, ò ſapientiſſima, dictis prius a nobis accommodare. Aedem noſtræ generationis naturæ, quæ viſui non ſubiacet, aſſimilato, adiacentem montibus aditum, e cœlo in corpora deſcenſui, & præuiæ animorum miſſioni; foramina muliebri & fœmineo generi; Plaſtem effectrici Numinis facultati, quæ natura vtitur, & generationis noſtræ, vt diximus, cauſa eſt. Ipſa ſiquidem in occulto homines, indumenta animis prætexens, effingit; conuebentes materiam luti virili ac maſculo generi confer, cum filiorum flagrantes deſiderio in meatus fœminæ, vt naturam addecet,

ſe-

ſemen immittunt, quẽadmodum ibi lutum in foramina. Nam diuinæ actuoſæque conditionis, vt verbo me expediam, ſemen particeps factum, non opinandum eſt illud cauſam eſſe intemperantiã ſuccendentium fomitũ. Ars ſiquidem ſubiectã ſibi materiam continuo operatur. nec vlla res ipſa per ſe mala exiſtimanda eſt, ſed male ab ÿs fieri, qui hac vel illa ratione actionem ſuſcipiunt. Decenter quippe caſteque effectum, decens ac decorum euaſit; turpiter, ac deformiter, turpe. Quid enim deliquit ferrum agricolarum, & artium gratia factum, ſi eodem mutuis inter ſe cædibus homines trucidantur? Quid aurum, argentum, aut æs & in ſumma vniuerſa materia,

ὥσπερ κἀκεῖ τὸν πηλὸν εἰς τὰς ὀπάς. Θείας γὰρ, ὡς ἔπος εἰπεῖν, μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα μεταλαμβάνον, οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμάτων. Ἡ μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὕλην ἀεὶ τεκταίνεται. οὐδὲν γὰρ αὐτό τι καθ' ἑαυτὸ τῶν πραγμάτων ἡγητέον εἶναι κακὸν, ἀλλὰ παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιοῦτος γίνεται. κοσμίως μὲν γὰρ πλαττόμενον, καὶ σωφρόνως, κόσμιον ἀπέβη, αἰσχρῶς δὲ καὶ ἀσχημόνως, αἰσχρόν. Τί γὰρ ἠδίκησε σίδηρος γεωργῶν χάριν καὶ τεχνῶν εὑρεθεὶς τοῖς εἰς ἀλληλοφόνους αὐτὸν θήξαντας μάχας; Τί δὲ χρυσὸς, ἢ ἄργυρος, ἢ χαλκὸς, καὶ συλλήβδην ἡ εὐέργαστος

πᾶσα γῆ τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν ἐν τῷ προξένεσθαι τὰ ἀπ' αὐτῶν ποικιλλόμενα βρέτη; κἂν γὰρ κλεψιμαίων τῇ ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνῃ, πρὸς ἓν μόνον ἀποβλέπουσα τοῦτο ἡ τέχνη, δημιουργεῖ τὴν ὑποκειμένην ὕλην, εἰ δέξεται τὴν κατασκευὴν, οὐδὲν ἀποβαλλομένη τῶν ἑαυτῆς χρησίμων. Ἐπεὶ μὴ δὲ αἴτιον ἐστὶν ἐνταῦθα τὸ κλαπὲν ἄψυχον ὄν. διὸ δὴ αὐτὸ μὲν ἐργαστέον, καὶ κοσμητέον· τὸν δὲ ὑφελόμενον ἀδίκῳ φορᾷ τιμωρητέον. Ἀτὰρ δὴ καὶ τοὺς δηλήμονας νόμων, καὶ διαρρήκτας τῆς συναρμοστίας τοῦ βίου τῶν χορδῶν φλεγμαίνοντας οἴστρῳ, καὶ τὴν ὄρεξιν εἰς

quæ ſeſe tenera ac tractabilia præſtãt, ſi nonnulli ingratis animis in ſuum opificem delinquentes artifices in ſtatuas varie diſtinctas efformataſque adoranda proponunt. Licet enim furtiua textoriæ arti vellera quiſpiam exhibuerit, ad vnum tantum hoc ars inſpectans, in ſuppoſita ſibi materia, vt ſtructuram admittat, elaborat, nulla ex ſuis prærogatiuis deperdita. Neque enim furto ſublatum cauſa mali eſt, cum animi expers ſit: proptereaque illud elaborandum eſt, & adornandum, qui vero iniuſto conatu ſuffuratus eſt, caſtigandus eſt. Sic item & nuptiarum violatores, & chordarum vitæ concinnitatis corruptores œſtro exæſtuantes, & appetitum in adulteriũ concitantes caſtigandi puniendiq; ſunt,

tanquam qui in alienis hortis ſuffurantes, complexus fœtificos corrumpunt: ſemen vero, quemadmodum ibi vellera, efformandum, & animandum. Sed quid opus eſt, tot hinc atque illinc exemplis petitis abutentem, orationem producere? Tantum adeo exiguo tempore abſque diuina ope natura opus non perfeciſſet. Quis enim oſſium incongelabilem finxit naturam? Quis neruis colligata mēbra circa iuncturas ſeſe deflectentia extendi, & retrahi fecit? Quis cuniculos ſanguini & mollem ſpiritui arteriam preparauit? Solus plane optimus artifex imaginem rationis compotem & animatam homines nos ſui ipſius efficiens, & veluti cera effingens, ex humidis

μοιχείαν ἐκκαλουμένους, αὐτοὺς μὲν βασανιστέον, καὶ τιμωρητέον. ὑπ' ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτοντες συμπλοκὰς, τὴν δὲ σπορὰν ὥσπερ δὴ κἀκεῖ τὰ ἔρια μορφωτέον, καὶ ἐμψυχωτέον. Καὶ τί δεῖ παραδείγμασι τοσούτοις καταχρωμένην μηκύνειν τὸν λόγον. οὐ δὲ γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἄνευ θείας κομιδῆς ἔργον ἐξήνυσε φύσις. Τίς γὰρ ὀστέων ἄπηκτον ἔπηξεν οὐσίαν; Τίς δὲ ξυνέδησε νεύροις ἐπιτείνεσθαι, καὶ ξυγνυΐεσθαι περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; Τίς δ' ὑπονόμους κατεσκεύασε τῷ αἵματι, καὶ μαλακὴν ἀρτηρίαν τῷ πνεύματι, ἢ μόνος ὁ ἀριστοτέχνης τὴν λογικωτάτην εἰκόνα, καὶ ἔμψυχον

midis

τὸν ἄνθρωπον ἡμᾶς ἑαυτοῦ τεκταινόμενος, καὶ κηροπλαστῶν ἐξ ὑγρῶν, καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ; Τίς γάρ ἐστιν ὁ προμηθούμενος, καὶ συμπνίγεσθαι τοῦ ὑγροῦ ἐν τῇ συνοχῇ τῶν ἀγγείων ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; ἢ τίς ὁ μετὰ τὸ λοχευθῆναι, καὶ εἰς φῶς ἀχθῆναι, εἰς μέγεθος, καὶ κάλλος, καὶ ῥώμην ἐξ ἀσθενοῦς καὶ βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνης, ὡς ἔφην, Θεὸς τῇ ποιητικῇ δυνάμει, τοῦ Χριστοῦ μετασχηματίζων, καὶ ζωγραφῶν τὰς ἰδέας. ὅθεν δὴ, καὶ τημελούχοις Ἀγγέλοις, κἂν ἐκ μοιχείας ὦσι τὰ ἀποτικτόμενα, παραδίδοσθαι παρειλήφαμεν ἐν θεοπνεύστοις γράμμασιν. εἰ γὰρ παρὰ τὴν γνώμην ἐγένοντο, καὶ τὸν θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ Θεοῦ, πῶς

midis, & quam exiguis ſeminibus in vtero perficit. Quis enim eſt, qui curam gerit, ne humido ſuffocetur in coarctatione vaſorũ embryon aquis obrutum? Aut quis enatum lucique redditum, in magnitudinem, pulchritudinem, ac robur ex puſillo infirmoque, immutat, niſi hic ipſe opifex optimus, vti dixeram, Deus, qui facultate effectrice; Chriſto formas variat, & species pingit? Hinc & Angelis curatoribus, etiam quæ oriuntur ex adulterio concredi, ex diuinitus inſpiratis ſcripturis accepimus: ſi enim præter conſilium, legemque beatæ illius naturæ, diuinæ ſcilicet, prognata ſunt,

quæ

qua ratione Angelis cũ magna quiete & facilitate educanda traduntur? Quomodo & ſuos ipſos parentes criminantia, ſatis fidenter ad Chriſti tribunal accerſunt? Tu non inuidiſti nobis Domine commune, dicentia, hoc lumen. Hi vero mandato tuo neglecto in mortem nos expoſuerunt, [a] Ex iniquis enim, *ait*, ſomnis filij procreati, teſtes ſunt nequitiæ aduerſus parentes in inquiſitione perſuaſibilium ſermonum. *Et forte etiam hic quiſpiam admittetur, quaſi veroſimilia afferret, ſed nõ inter iudicio, & ſapientia præpollentes viros, veſtem hanc carneam hominum opera ſatam præter decretum Dei for-*

Ἀγγέλοις ταῦτα παρεδίδοτο τραφησόμενα μετὰ πολλῆς ἀναπαύσεως, καὶ ῥᾳστώνης; πῶς δὲ καὶ κατηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς διὰ παῤῥησιάστως εἰς τὸ δικαστήριον ἐκίκλησκον τοῦ Χριστοῦ; οὐκ ἐφθόνησας ἡμῖν ὦ Κύριε τὸ κοινὸν, λέγοντα, τοῦτο φῶς, οὗτοι δὲ εἰς θάνατον ἡμᾶς ἐξέθετο καταφρονήσαντες τῆς σῆς ἐντολῆς. Ἐκ γὰρ ἀνόμων, φησὶν, ὕπνων τέκνα γεννώμενα, μάρτυρές εἰσι πονηρείας κατὰ γονέων ἐν ἐξετασμῷ πιθανῶν λόγων. Καὶ τάχα μὲν οὖν δὴ χώραν ἕξει πιθανολογῶν τις οὐκ ἐν κριτικοῖς, καὶ φρονίμοις ἀνδράσι, τὸν χιτῶνα τῆς ψυχῆς τὸν σάρκινον τοῦτον ὑπὸ ἀνθρώπων φυτευόμενον αὐτοματὶ μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ Θεοῦ. οὐμὴν ἤδη καὶ τῆς ψυχῆς τὴν

tuito

a Sapient. 4. 6.

ὐσίαν κατὰ τοῦ θνητοῦ σπεί-
ρεσθαι διδάσκων πιστευ-
θήσεται σώματος. τὸ γὰρ
ἀθάνατον, καὶ ἀγήρω μό-
νος ὁ παντοκράτωρ ἐμ-
φυσᾷ, ᾗ καὶ μόνος τῶν
ἀοράτων ἐστὶ, καὶ ἀνωλέ-
θρων ποιητής. Ἐνεφύση-
σε γὰρ εἰς τὸ πρόσωπον
αὐτοῦ πνοὴν ζωῆς, καὶ
ἐγένετο φησὶν ὁ ἄνθρω-
πος εἰς ψυχὴν ζῶσαν.
ἀμέλει τοὺς χειροτέχνας
τούτους αἰτιώμενος ὁ λό-
γος ἐπὶ λύμῃ τῶν ἀν-
θρώπων τὰ ἀνδρείκε-
λα κατασκευάζοντας ἀ-
γάλματα, οὐκ αἰσθανο-
μένους δὲ τὸν ἴδιον ποιη-
τὴν ἐν τῇ πανάρετῳ Σο-
φίᾳ φησὶ, Σποδὸς ἡ καρ-
δία αὐτῶν, καὶ γῆς εὐτε-
λέστερον ἡ ἐλπὶς αὐτῶν,
πηλοῦ εὐτελέστερον ἡ ζωὴ
αὐτῶν, ὅτι ἠγνόησε, καὶ

tuito efformari: Animæ autem eſſentiam ſimul cum mortali corpore non ſeminari, qui docuerit, is fidem minime promerebitur, Immortale enim, & quod non veteraſcit, ſolus omnipotens inſpirat, modo quo ipſe eſt & inuiſibilium & interitus expertium factor. [a] Inſpirauit e*nim* in faciem eius ſpiraculum vitæ, & factus eſt homo in animam viuentem. *Et certe operarios ſimiles ad noxam hominum ſtatuas, quæ homines referant, elaborantes, & factorem proprium minime agnoſcentes Verbum accuſans in virtutibus omnibus referta Sapientia pronunciat;* [b] Cinis eſt cor eorum, & terra ſuperuacua ſpes eorum, & luto vilior

vi

a *Geneſ.* 2. 7. b *Sapient,* 15. 10.

vita eorum; quoniam ignorauerunt, qui finxit eos, & qui inſpirauit illis animam operantem, & qui inſufflauit eis ſpiritum vitalem. *Hic omnium hominum creator Deus eſt. Proptereaque, vt ſcribit Apoſtolus,* [a]omnes homines vult ſaluos fieri, & ad agnitionem veritatis venire. *Et cum hoc tandem finem habeat, remanet vt, quæ reliqua ſunt, proſequamur. Cum enim, quæ hominibus accidere ſolent, accurate ſpeculatus quis fuerit, diſcet omnino procreationem filiorum non deteſtari, laudare vero præferreque Caſtimoniam. Neque enim, quod reliquis alijs mel dulcius eſt, & ſuauius, ideo cætera, quæ adnata*

τὸν πλάσαντα αὐτοὺς, καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα πνεῦμα ζωτικόν. Οὗτος ἐστὶ πάντων ἀνθρώπων ποιητὴς ὁ Θεός. Διὸ καὶ πάντας ἀνθρώπους κατὰ τὸν Ἀπόστολον σώζεσθαι βούλεται, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Καὶ ἐπειδὴ τοῦτο μόλις ἔχει τέλος, λοιπὸν δὴ τὰ μετὰ ταῦτα λεκτέον. Ὁπόταν γάρ τις τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ βδελύσσεσθαι παιδοποιΐαν, ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. οὐδὲ γὰρ ἐπειδὴ τῶν ἄλλων ἐστὶν ἡδύτερον, καὶ προσηνέστερον τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ προσήκει νομίζεσθαι πικρά, ὁπόσα δὴ τῇ ἐμ-

nata

a 1. Tim. 2. 4.

γύτῳ γλυκάσι κεκέρασται τῶν ἀκροδρύων. Καὶ τούτων μὲν ἐχέγγυον μάρτυρα παρέξομαι τὸν Παῦλον, ὥστε καὶ ὁ γαμίζων, λέγοντα, τὴν Παρθένον ἑαυτοῦ καλῶς ποιεῖ, καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ. οὐ γὰρ τῇ τοῦ κρείττονος, καὶ γλυκυτέρου παραθέσει τὸ ἕτερον ἀνεῖλεν ἀπαγορεύσας ὁ λόγος, ἀλλ' ἑκάστῳ τὸ οἰκεῖον, καὶ λυσιτελὲς ἀπονέμων διαθεσμοθετεῖ. Τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν, τούτους δὲ καὶ οὐκέτι βούλεται χραίνεσθαι φοινισσομένους ἐρεθισμοῖς, ἀλλὰ μελετᾷν ἀπεντεῦθεν ἤδη καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων, ἔνθα οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, κατὰ τὴν ἀψευδεῖς τοῦ Κυρίου

nata ſibi dulcedine pollent, & arborum baccæ amara cenſenda ſunt. Et horum tibi teſtem fide dignum Paulum dabo dicentem; [a] Itaque qui elocat nuptum virginem ſuam, bene facit, & qui non elocat nuptum, melius facit. *Neque enim melioris, ac ſuauioris comparatione alterum ſuſtulit, prohibuitque oratio, ſed vnicuiq; proprium, & commoda, quæ afferat, exhibens, decernit. His enim nunquam conceſſit Virginitatem poſſidere: hoc vero irritationibus cruentatos inquinari minime vult, ſed inde iam meditari & imaginatione concipere Angelos exæquãtem corporum tranſmutationem, vbi vti a vero non aberrantia*

D Chri-

a 1. Corinth. 7. 38.

Chriſti eloquia tradũt, [a] neq; nubent, neque nubentur. *Cum nec omnibus impolluta, & regnum cœleſte ſuppeditans caſtratio concreditur, ſed illis ſolummodo, qui indeſinenter virentem & incorruptum Virginitatis florem conſeruare poſſunt. Florentiſſimo ſiquidem & maxime vario prato Eccleſiam aſſimilari dictum propheticum confirmat, non tantum caſtimoniæ ſed & generationis liberorum, & continentiæ exornatam redimitamque floribus, quæ* [b] *fimbrijs & aureis variegata a dextris ſponſi regina conſiſtit. Hæc, vt vt potui, & ipſa, o Virtus, quæ ad veritatem eruendã, maxime conducere videban-*

χρησμοῖς. Ἐπεὶ μὴ δὲ πᾶσιν ἀμόλυντος, καὶ παρεκτικὸς τῆς βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται, ἀλλὰ μόνοις ἐκείνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀειθαλὲς ἄνθος, καὶ ἄχραντον τῆς Παρθενίας τηρῆσαι. ἀνθηροτάτῳ γὰρ ἀπεικάζεσθαι, καὶ ποικιλωτάτῳ λειμῶνι, λόγος ἔχει Προφητικὸς, τὴν Ἐκκλησίαν, οὐ μόνον τοῖς τῆς ἁγνείας πεποικιλμένην, καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τεκνογονίας, καὶ τοῖς τῆς ἐγκρατείας. ἐν κροσσωτοῖς, καὶ χρυσοῖς πεποικιλμένη ἀπὸ δεξιῶν ἡ βασίλισσα παρίσταται τοῦ νυμφίου. Ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τὴν ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν περὶ τῆς ἀληθείας συμβάλλομαι λόγον. Εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλης, θόρυβον

tur

a Matth. 22. 30. b Pſalm. 49. 11.

γάσθαι ἐκ πασῶν, ἔφη ἡ Θεοπάτρα, τῶν παρθένων συμβέβηκε διαπρεπουσῶν τὸν λόγον. ὡς δὲ ἡσύχασαν, σιωπῆς ἐπὶ πολὺ γεγενημένης, ἀναστῆναι τὴν Θάλειαν. Ταύτῃ γὰρ ἐκ τρίτων ἐπετέτραπτο μετὰ Θεόφιλαν ἀγωνίζεσθαι. ὑπολαβοῦσαν οὖν ἐντεῦθεν, ὡς οἶμαι, ἤδη καὶ αὐτήν.

ΘΑΛΕΙΑ.

Σύ μοι δοκεῖς, ὦ Θεόφιλα, ἔφη, καὶ τῇ πράξει, καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν, καὶ σοφίας τὰ δεύτερα φέρεσθαι οὐδενός. οὐ γάρ ἐστιν ὅστις αἰτιάσαιτό σου τὸν λόγον, οὐδ᾽ εἰ παντάπασι φιλόνεικος εἴη, καὶ ἀντιλεκτικός. πλὴν ἐκεῖνο με μόνον τῶν ἄλλων ὀρθῶς εἰρημένων, ὦ μακαρία, δοκεῖ ταράττειν τε, καὶ αἰτιᾶν, ἀναλογιζομένην, ὡς

tur, attuli. Dictis Theophilæ turbæ inter omnes orationem collaudantes concitæ ſunt. Vt quieuere, poſt diu protractum ſilentium, exurgens Thalia, huic enim demandatum fuerat, vt tertio loco poſt Theophilam in certamen deſcenderet, orationem exorſa, dixit.

THALIA.

Mihi videris, o Theophila, & opere & ſermone omnes antecellere, & ſapientia nemini eſſe ſecunda. Neque enim fuerit, licet maxime contentioſus, & in refellendis aliorum ſententijs acutiſſimus, qui dicta tua criminari valeat. At illud ſolum inter alia a te rectiſſime dicta, o Beata, vide-

videtur interturbare, & moleſtiam mihi indere, conſideranti, nunquam Paulum ſpiritui addictiſſimum, & ſapientia onuſtum virum, adeo temere in Chriſtum retuliſſe & Eccleſiam primum creati hominis & mulieris coniugium, niſi ſublimius quippiam dictis illis atque hiſtoria comprehenderetur. Nã ſi prorſus ſcripturæ locus de congreſſu hominis & mulieris nude ac ſimpliciter intelligendus eſt, cuius gratia Apoſtolus eorum memoriam inculcans, & ad ſpiritus nos viã, vt reor, manuducens, ad Chriſtum & Eccleſiam referens, Adami & Euæ narrationem allegoria vſus interpretatur? Verba Geneſeos ſunt; [a] Dixitque Adam. Hoc nunc os ex

οὐκ αὖ ὁ πνευματικώτατος, καὶ σοφὸς ἀνὴρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν τὴν σύζευξιν τοῦ πρωτοπλάστου, καὶ τῆς γυναικὸς, εἰ μηδὲν ἐφαντάζετο ὑψηλότερον τῶν ῥητῶν, καὶ τῆς ἱστορίας ἡ γραφή. Εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως ἀνδρός τε, καὶ γυναικὸς δεῖ παραλαμβάνεσθαι τύπον ψιλῶς τὴν γραφὴν, τίνος δὴ χάριν ὁ Ἀπόστολος τούτων ἐπιμνησθεὶς, καὶ εἰς τὴν τοῦ Πνεύματος ἡμᾶς, ὡς οἶμαι, χειραγωγῶν ὁδὸν, εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν ἀναφέρων ἀλληγορεῖ τὰ κατὰ τὴν Εὔαν, καὶ τὸν Ἀδάμ. Ἡ μὲν γὰρ λέξις τῆς γενέσεως οὕτω φησί. Καὶ εἶπεν ὁ Ἀδάμ. τοῦτο

a *Geneſ.* 2. 23.

νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ Ἀπόστολος εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περικοπὴν, οὐκέτι κατὰ τὸ κείμενον αὐτὴν, ὡς ἔφην, αἰσθητῶς ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι γυναικός τε, καὶ ἀνδρὸς, ὥσπερ δὴ καὶ σύ. Σὺ γὰρ φυσικώτερον ἐπεξεργαζομένη τὸν λόγον, συλλήψεων πέρι καὶ τοκετῶν ἔδωκας ἀποφαίνεσθαι μόνον τὴν γραφήν. ἵνα γὰρ τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἀνθρώπου ἕτερον ληφθὲν γεννηθῇ, ταύτῃ συνεῖναι τὰ ζῶα σπαργῶντα δένδρων δίκην ἐν

ex oſſibus meis, & caro de carne mea. Hæc vocabitur mulier, eo quod de viro ſuo ſumpta eſt. Propterea relinquet homo patrem ſuum, & matrem & conglutinabitur vxori ſuæ, & erunt duo in carne vna. *Apoſtolus vero hanc ſcripturæ pericopem attente conſiderans, non vti ipſa iacet, & ad literam, de adhærentia mulieris ac viri, quemadmodum tu, vult intelligi. Nam tu naturæ magis conſentanee ſermonem inſtituens, de conceptibus, & puerperijs ſcripturam tantum decernere conceſſiſti. Vt enim ex oſſibus os hominis aliud aſſumptum generetur, animantia dicebas copulari turgentia, & parturientia inſtar ar-*

borum cū concipitur:at ille ſpiritui conuenientius, in Chriſtum dictū amandans, ita docendo expoſuit; [a] Qui diligit ſuam vxorem, ſe ipſum diligit. Nullus enim unquam ſuam ipſius carnem odio habuit. imò enutrit, & fouet eam, ſicut & Chriſtus Eccleſiam. Quoniam membra ſumus corporis eiuſdem. Huius rei gratia relinquet homo patrem ſuum, & matrem, & adiungetur vxori, & erunt duo in carne vna. Myſterium hoc magnum eſt, ego autem dico in Chriſto & Eccleſia; *Ne te turbet, ſi de alijs ſermonem habens, in alia tranſilit, vt videatur immiſcere & intercalare rebus propoſi-*

φορὰ τοῦ κύειν, ἐκεῖνος δὲ πνευματικώτερον εἰς Χριστὸν ἀναπέμψας τὸν λόγον, διδάσκων οὕτως ἔφη. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ, οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει, καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ. ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται γυναικί, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν. Μὴ κινήτω δέ σε, εἰ περὶ ἑτέρων διαλεγόμενος εἰς ἕτερα μεταπηδᾷ, ὥστε νομίζειν ἀναμιγνύναι, καὶ παρεμβάλλειν αὐτὸν αὐτό-

a *Epheſ.* 7. 27.

μοια τοῖς προειρημένοις παρεκβαίνοντα τοῦ σκέμματος. Ὥσπερ δὴ καὶ νῦν, τὸν περὶ τῆς ἁγνείας γὰρ ἐθελήσας ὡς εἰκὸς μεμελημένως αὐτοῦ καταστῆσαι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ. Ὁ γάρ τοι χαρακτὴρ αὐτοῦ τῶν λόγων ποικιλώτατος ὤν, καὶ κατὰ παραύξησιν ἐξειργασμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προχεῖται δὲ εἰς τὸ ὑψηλότερον, καὶ μεγαλοπρεπὲς, εἶτα αὖθις εἰς βαθύτατον μεταβάλλων, ὅτε μὲν εἰς τὸ ἁπλούστερον, καὶ ἀφελὲς, ὅτε δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ λεπτὸν, οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς, ἀλλὰ πάντα κατά τινα θαυ-

poſitis diſſimilia, extra ſcopum aberrans, quemadmodum in præſentia. Nam ſermonem de caſtimonia volens, vt addecebat, elaborate conſtabilire, prius argumentationem corrigens, molliori dicendi forma orationem exorditur. Etenim cũ character ipſius dicendi varius ac multiplex ſit, & amplificationibus abſolutus, primum quidem initium inſtituit per ſumma, & quaſi excurrens ſuperficie, effunditur, deinde ad altiora & magnificentiora, tum rurſus in profundiſſima progrediens, immutatus, nunc in ſimplicius, & tenue, nunc in grauius deſinit ac ſubtile, nihil alienum a capitibus immutationibus illis inſerens, ſed omnia admirabili quadam proprietate deſcribens,

vnam ſibi propoſitam argumenti commentationem abſoluit. Magis enim virilem ſententiam argumentorũ Pauli retegam, nullo ex illis reiecto, quæ antea dicta ſunt. Abunde ſiquidem illud recenſuiſſe, & ſplendide, periculo erepta, o Theophila, verba, vt vt erant, mihi videris expoſuiſſe. Periculoſum ſiquidem eſt eloquia propoſita, vt iam diximus, & Geneſeos potiſſimum contemnere, in qua immutabilia Dei decreta in vniuerſi conſtitutione referuntur, quibus congruenter ad hæc vſque tempora quam pulcherrime ſecundum ſuas partes ſuis numeris abſolutus mundus dirigitur, donec rurſus eundem, qui eum adornauit, legumlator refor-

μας ἣν οἰκειότητα συμπεριγράφων, εἰς ἓν τὸ προκείμενον αὐτῷ σκέμμα τὸ ὑπὸ θέσεως ἀπεργάζεται. Ἀνδρειότερον γὰρ ἀνακαλύψαι τὸν νοῦν τῶν κατὰ τὸν Ἀπόστολον ἐπιχειρημάτων, οὐδὲν τῶν ἔμπροσθεν εἰρημένων ἀποκρουομένων. ἱκανῶς γὰρ κἀκεῖνό μοι διεξεληλυθέναι, καὶ λαμπρῶς δοκεῖς ἀκινδυνότερον, ὦ Θεοφίλα, τὰ ῥήματα τῆς Γραφῆς, ὡς εἶχεν ἀπεργασαμένη. σφαλερὸν γὰρ πάντη καταφρονεῖν τῶν κειμένων, ὡς εἴρηται, μάλιστα τῆς Γενέσεως. ἔνθα ἀποφάσεις ἀπαράλλακτοι φέρονται τοῦ Θεοῦ εἰς τὴν σύστασιν τοῦ παντὸς, αἷς ἡρμοσμένως εἰσέτι καὶ νῦν κάλλιστα κατὰ μέτρον τέλειον ἀπευθύνεται τελείως ὁ κόσμος. ἔστ' ἂν αὐτὸν πάλιν αὐτὸς ὁ δια-

κοσμήσας νομοθέτης ἀ-
ναστοιχειῶσαι βουληθεὶς,
ἑτέρῳ διδάγματι τοὺς
προτέρους τῆς φύσεως ἀνα-
λύσῃ δεσμούς. Ἀλλ' ἐ-
πειδὴ οὐ χρὴ ἀνεξέλεγκτον,
καὶ ὥσπερ ἐξ ἡμισείας
χωλὴν τὴν ἀπόδειξιν
τοῦ λόγου καταλεῖψαι φέ-
ρε δὴ καὶ τὴν κατ' ἀναγω-
γὴν αὐτοῦ συζυγίαν ἀπο-
δῶμεν ἡμεῖς βαθύτερον
ἐπισκεψάμενοι. οὐ γὰρ τοῦ
Παύλου καταφρονητέον
τοῦ ὑπεραναβαίνοντος τὸ
ῥητὸν, καὶ εἰς τὸν Χριστὸν
αὐτὸ συντείνειν, καὶ εἰς τὴν
Ἐκκλησίαν ἀποφηναμέ-
νου. Καὶ πρῶτον ἐξετα-
στέον, εἰκὸς γὰρ ἀντιπρο-
θεῖναί τινας ἄλλοτε ἄλ-
λως. πῶς ὁ Ἀδὰμ ἀπει-
κάζεσθαι δύναται τῷ υἱῷ
τοῦ Θεοῦ ἐν τῷ παρα-
πτώματι τῆς παραβάσε-
ως εὑρεθεὶς, καὶ ἀκούσας
τὸ, Γῆ εἶ, καὶ εἰς γῆν ἀπε-
λεύσῃ; πῶς δὲ καὶ πρωτό-

*reformare volens, no-
uo præcepto, priora
naturæ vincula diſſo-
luerit. Sed cum abſq;
refutatione, & quaſi
dimidia ſui parte
mancam demonſtratio-
nem deſerere opus non
ſit, age iam anagogi-
cum ipſius coniugium
ad profundiora ſuble-
uantes, proferamus.
Neque enim deſpicien-
dus Paulus eſt, qui
dictum in ſublime ex-
tollens ad Chriſtum il-
lud, & Eccleſiam ſpe-
ctare decernit. Et ante
omnia examinandum
eſt (non enim dedecet
alias alio modo, &
tempore conſideratio-
nes interponere) qua
ratione Adamus aſſi-
milari Dei filio poteſt,
in tranſgreſſionis caſu
repertus, cum audijt,*
[a] terra es, & in terram
reuer-

a Geneſ. 3.19.

reuerteris? *Qua item ratione primogenitus omnis creaturæ reputabitur, qui poſt terram & firmamentum luto effingitur? Item quomodo lignum vitæ eum eſſe concedemus, qui ob tranſgreſſionem eijcitur, ne denuo extenſa manu, ex eo comedens, vitam conſequeretur æternam? Quod enim comparatur illi, cui confertur, aſſimilari rebus in multis neceſſe eſt, & non ex contrarijs, vel ſui diſſimilibus conſiſtere. Neque enim qui inæquale æquali, & concinnum inconcinno exæquare præſumit, ſapiens exiſtimabitur, ſed qui æquale natura æquali, licet parumper æquale ſit, nec ad omnia quadret, vt candidum natura candido, licet illud admodum puſil-*

τόκος πάσης τῆς κτίσεως νομισθήσεται ὁ μετὰ τὴν γῆν, καὶ τὸ στερέωμα πηλοπλαστούμενος; πῶς δὲ καὶ τὸ ξύλον τῆς ζωῆς αὐτὸς εἶναι συγχωρηθήσεται, ὁ ἐκβαλλόμενος διὰ τὴν παράβασιν, ἵνα μὴ πάλιν ἐκτείνας τὴν χεῖρα, καὶ φαγὼν ἀπ᾽ αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα; Τὸ γὰρ ἀπεικαζόμενον, ἐκείνῳ οὗ ἐστιν ἀπείκασμα ὁμοιοῦσθαι αὐτῷ, καὶ παραβάλλεσθαι κατὰ πολλὰ χρὴ, ἀλλὰ μὴ ἐκ τῶν ἐναντίων καὶ ἀνομοίων τὴν σύστασιν ἔχειν. Οὐ γὰρ ἂν τὸ ἄνισον τῷ ἀρτίῳ, ἢ τὴν ἁρμονίαν τῇ ἀναρμοστίᾳ τις ἐξισάσαι τολμῶν, ὡς ἔμφρων ἀποδεχθήσεται, ἀλλὰ τὸ ἴσον τῷ φύσει ἴσῳ, κἂν ἐξ ὀλίγου ἴσον ᾖ, καὶ τὸ λευκὸν τῷ φύσει λευκῷ, κἂν αὐτὸ βραχύτατον ᾖ, καὶ με-

ξίως φαντάζοιτο τῆ λευκότητα ἐκείνης, δι' ἣν δὴ καὶ αὐτὸ λέγεται λευκόν. Ἴσον δὲ τὸ ἁρμόνιον, τὸ λαμπρὸν τὸ ἀναμάρτητον εἶναι, καὶ ἄφθαρτον ἀνενδοιάστως παντί που σαφὲς τὴν σοφίαν· ἄνισον δὲ καὶ ἀνάρμονιον τὸ θνητὸν, τὸ ἁμαρτωλὸν, τὸ διὰ κατάγνωσιν ἐκβληθὲν, καὶ ὑπὸ καταδίκην ἐληλυθός. Τὰ μὲν οὖν δὴ πρὸς τῶν πολλῶν ἀντισφαιριζόμενα, σχεδὸν εἶναι τοιαῦτα δὴ νομίζω, ὅσοι δὴ μὴ θέλουσιν εἰς Χριστὸν ἀναφέρεσθαι τὸν πρῶτον ἄνθρωπον, καταφρονοῦντες τῆς συνέσεως, ὡς εἰκὸς, Παύλου. φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστὸν, οὐ μόνον αὐτὸν τύπον ἡγούμενος εἶναι, καὶ εἰκόνα,

puſillum ſit, & mediocriter præferat illius candorem, propter quē & illud candidum dicitur. Aequale quid autem, & concinnum, & candidum, & impeccabile, & incorruptum ſapientiam eſſe, indubitate omnibus palam eſt: contra inæquale & inconcinnum, quod mortale, & peccatis inquinatum, & condemnatione eiectū, & iudicato obnoxium eſt. Quæ itaque a pluribus in contrariam partem iactantur, fere hæc eſſe reor, qui abnuūt primum hominem in Chriſtū referri, deſpicientes, vt eſt, conijcere Pauli prudentiam. Sed age iam nunc conſideremus, quomodo recte pieque ſentiens in Chriſtum Adamum reduxit, non tantum hanc figuram & ima-

gi-

ginem æſtimans, ſed re ipſa Chriſtum, factum eſſe, cum Verbum, quod ante ſecula eſt, in ipſum incubuit. Addecebat ſiquidē Dei primogenitum, & primum ſurculum, & unigenitum, ſapientiam, primo creato & primario, & primogenito inter homines communicatam hominem fieri; hoc enim eſſe Chriſtum hominem in pura Deitate ac perfecta completum & Deum, cuius homo capax fuit. conueniens quippe erat, pulcherrima forma ante alios præditum, & ſeculorum antiquiſſimū, & Archangelorum principem, cum hominibus congreſſurum, in antiquiſſimum, & humani generis caput,

ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι, διὰ τὸ, τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι Λόγον. Ἥρμοζε γὰρ τὸ πρωτόγονον Θεοῦ, καὶ πρῶτον βλάστημα, καὶ μονογενὲς τὴν σοφίαν, τῷ πρωτοπλάστῳ, καὶ πρώτῳ, καὶ πρωτογόνῳ τῶν ἀνθρώπων κεραθεῖσαν ἐνηνθρωπηκέναι. Τοῦτο γὰρ εἶναι τὸν Χριστὸν ἐν ἀκράτῳ θεότητι, καὶ τελείᾳ πεπληρωμένον καὶ τὸν ἐν κάλλει προπωδέστατον, καὶ τὸν πρεσβύτατον τῶν αἰώνων, καὶ πρῶτον τῶν Ἀρχαγγέλων, ἀνθρώποις μέλλοντα συνομιλεῖν, εἰς τὸν πρεσβύτατον, καὶ πρῶτον τῆς ἀνθρωπότητος ἄνθρωπον εἰσοικισθῆναι τὸν Ἀδάμ. Ταύτῃ γὰρ ἀναζωγραφῶν τὸν ἐξ ὑπαρ-

primum hominem Adamum inhabitare. Propterea eundem, qui ab exordio erat, deſignans, & rur-

ſus

γῆς, καὶ ἀναπλάσσων αὖθις ἐκ Παρθένου καὶ Πνεύματος τεκταίνεται τὸν αὐτόν. Ἐπειδὴ καὶ κατ' ἀρχὰς οὔσης παρθένου τῆς γῆς ἔτι, καὶ ἀνηρότου λαβὼν χοῦν τὸ λογικώτατον ἐπλάσατο ζῶον ἀπ' αὐτῆς ὁ Θεὸς ἄνευ σπορᾶς. Καί μοι ἐχέγγυος μάρτυς, καὶ σαφὴς ὁ προφήτης Ἱερεμίας παρήτω, Καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, λέγων, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τὸν λίθον, καὶ διέπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ πάλιν ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ ποιῆσαι. Ἔτι γὰρ πηλουργούμενον τὸν Ἀδάμ, ὡς ἐστὶν εἰπεῖν, καὶ τηκτὸν ὄντα, καὶ ὑδαρῆ, καὶ μήπω φθάσαντα δίκην ὀστράκου τῇ ἀφθαρσίᾳ κραταιωθῆναι, καὶ

ſus renouans ex Virgine & Spiritu elaborat. cum & in ipſo rerum ortu, terra adhuc virgine, & inarata, accipiens puluerem rationis particeps animal ex eadem abſq; ſemine Deus efformauit. Dictis teſtis fide dignus, & locuples adſit Ieremias Propheta. [a] Et deſcendi in domum figuli, & ecce ipſe faciebat opus ſuper petram, & cecidit vas quod ipſe faciebat in manibus ſuis, & rurſus fecit illud vas alterũ, ſicut placuerat in oculis eius, vt faceret. *Cum enim adhuc luto efformaretur Adamus, vt ita dicam, & adhuc concreſcens inſtar aquæ deflueret, nec dũ cepiſſet, in modũ teſtæ incorruptione indureſcere, &*

quo-

a Ierem. 18. 2.

quodammodo lapideſcere, aqua veluti peccatum defluens irrumpensque eum diſſoluit. Quapropter deſuper irrigans & luto eundem in honorem Deus effingens, in virgineo primum vtero corroborans & condenſas, & ſimul vniens, & Verbo commiſcens, non vltra liqueſcentem, ſed infragilem in vitã eduxit; ne rurſus corruptionis fluctibus immerſus, & tabem progenerans caderet. Quod in Parabola de inuentione ouis Dominus meus, indicat cũ ad eos qui aderant, dicit; [a] Quis eſt ex vobis homo, qui habet centum oues, & ſi perdiderit vnam ex illis, nonne dimittit nonaginta nouem in mon-

ἀποπετρωθῆναι, ὕδωρ ὥσπερ καταλειβομένη καὶ καταστάζουσα διέλυσεν αὐτὸν ἡ ἁμαρτία. Διὸ δὴ πάλιν ἄνωθεν ἀναδεύων, καὶ πηλοπλαστῶν τὸν αὐτὸν εἰς τιμὴν ὁ Θεὸς ἐν τῇ παρθενικῇ κραταιώσας πρῶτον, καὶ πήξας μήτρᾳ, καὶ συνενώσας, καὶ συγκεράσας τῷ Λόγῳ, ἄτηκτον, καὶ ἄθραυστον ἐξήγαγεν εἰς τὸν βίον, ἵνα μὴ πάλιν τοῖς τῆς φθορᾶς ἔξωθεν ἐπικλυσθεὶς ῥεύμασιν, τηκεδόνας γεννήσας διαπέσῃ. Καὶ ἐν τῇ περὶ τῆς ἀνευρέσεως ἢ τοῦ Προβάτου φέρεται διδάσκων ὁ Κύριος παραβολῇ, ἔνθα φησὶ πρὸς τοὺς περιεστηκότας. Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔχει ἑκατὸν πρόβατα. κἂν ἀπολέσῃ ἓν ἐξ αὐτῶν, οὐκ ἀφίησι τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τοῖς ὄρεσι, καὶ πορευθεὶς ἐπὶ

a Luc. 15. 4.

τὸ ἀπολωλὸς, ζητεῖ αὐτὸ ἕως εὕρῃ, καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ, καὶ ἐλθὼν εἰς οἶκον συγκαλεῖται τοὺς φίλους, καὶ τοὺς γείτονας, λέγων. συγχάρητέ μοι, ὅτι εὑρέθη τὸ πρόβατόν μου τὸ ἀπολωλός. Ἐπειδὴ γὰρ αὐτὸς ὡς ἀληθῶς ἦν τε, καὶ ἔστιν ἐν ἀρχῇ ὢν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ὢν, ὁ ἀρχιστράτηγος, καὶ ποιμὴν τῶν κατ᾽ οὐρανόν. ᾧ πάντα πείθονται, καὶ ὁμαρτοῦσι τὰ λογικὰ, καὶ ποιμαίνων εὐτάκτως, καὶ ἀριθμῶν τὰ πλήθη τῶν μακαρίων Ἀγγέλων. Οὗτος γὰρ αὐτὸς καὶ τέλειος ἀριθμὸς ἀθανάτων ζώων κατὰ γενεὰς, καὶ κατὰ φυλὰς διωρισμένος συμπαραληφθέντος ἐνταῦθα τῇ ποίμνῃ καὶ τοῦ ἀνθρώπου. δεδημιούργητο

montibus, & vadit ad illam, quæ perierat. quærit eam donec inueniat. & cum inuenerit, apponit in humeros ſuos, & veniens domum, conuocat omnes amicos & vicinos, dicens, congratulamini mi : i, quia inueni oue m meam, quæ perierat. *Ipſe enim quam veriſſime erat & eſt in principio, Deus apud Deum, copiarum primarius dux, & eorum, qui in cœlo ſunt, paſtor, cui omnia obediunt, & quem ratione prædita ſequuntur, paſcens ordinate, & gubernans beatorum Angelorum multitudines. Hic enim numerus perfectus abſolutuſque eſt animantium immortalium ſecundum generationes & tribus diſtinctorum, ſi in grege illo hominem quoque collocaueris. Nam*

&

& ille procreatus erat extra corruptionem, vt regem omnium & creatorem veneraretur, & concinens Angelorum de cælo delapſis clamoribus conſone reſponderet. Sed cum præceptum prætergrediens ferali caſu diroq; in mortem transformatus concidiſſet. Propterea Dominus ait, in mundum de cœlo relictis ordinibus, & Angelorum exercitibus veniſſe. Aſſimilandi nanque montes ſunt cœlis, nouem & nonaginta oues Poteſtatibus, & Principatibus, & Dominationibus, quas deſcendens deſeruit, vt eam, quæ perierat conquireret, copiarum Dux & Paſtor. In librum enim illum & numerum homo recenſendus erat, quem induens

γὰρ καὶ αὐτὸς ἔξω φθορᾶς, ἵνα τὸν βασιλέα γεραίρῃ πάντων, καὶ ποιητὴν ἀντίφθογγα μελῳδῶν ταῖς τῶν Ἀγγέλων ἐξ οὐρανοῦ φερομέναις βοαῖς. Ἀλλ' ἐπεὶ συνέβη παρεληλυθότα τὴν ἐντολὴν ὀλέθριον πτῶμα, καὶ δεινὸν πεσεῖν, εἰς θάνατον ἀναστοιχειωθέντα, διὰ τοῦτο φησὶν ὁ Κύριος, αὐτὸν εἰς τὸν βίον ἐκ τῶν οὐρανῶν ἐληλυθέναι, καταλελοιπότα τὰς τάξεις, καὶ τὰ στρατόπεδα τῶν Ἀγγέλων. Ἀπεικονιστέον γὰρ τὰ μὲν ὄρη τοῖς οὐρανοῖς, τὰ δὲ ἐνενήκοντα πρόβατα καὶ ἐννέα ταῖς Δυνάμεσι, καὶ ταῖς Ἀρχαῖς, καὶ ταῖς Ἐξουσίαις ἃς καταλέλοιπεν, ἀναζητῆσαι κατελθὼν τὸ ἀπολωλὸς ὁ στρατηγὸς καὶ ποιμήν. Ἔλειπε γὰρ ἄνθρωπος, εἰς τὴν βίβλον ἐγκαταλεχθῆναι, τούτων ἔτι καὶ τὸν ἀριθμὸν βαστάζοντος αὐτὸν τοῦ

Κυρίου καὶ ἀμφιασαμένου, ἵνα δὲ μὴ πάλιν ταῖς τρικυμίαις, ὡς ἔφην, καὶ ταῖς ἀπάταις τῆς ἡδονῆς περικλυσθεὶς καταποντωθῇ. ταύτῃ γὰρ τὸν ἄνθρωπον ἀνείληφεν ὁ Λόγος, ὅπως δὴ δι' αὐτοῦ καταλύσῃ τὴν ἐπ' ὀλέθρῳ γεγονυῖαν καταδίκην, ἡττήσας τὸν ὄφιν. ἥρμοζε γὰρ μὴ δι' ἑτέρου νικηθῆναι τὸν πονηρὸν, ἀλλὰ δι' ἐκείνου, δι' ὃν δὴ καὶ ἐκόμπαζεν ἀπατήσας αὐτὸν τετυραννηκέναι. ὅτι μὴ ἄλλως τὴν ἁμαρτίαν λυθῆναι καὶ τὴν κατάκρισιν δυνατὸν ἦν, εἰ μὴ πάλιν ὁ αὐτὸς ἐκεῖνος ἄνθρωπος, δι' ὃν εἴρηται τὸ, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἀναπαλαίσας ἀνέλυσε τὴν ἀπόφασιν, τὴν δι' αὐτὸν εἰς πάντας ἐξενηνεγμένην, ὅπως καθὼς ἐν τῷ

Dominus portauit, ne rurſus fluctuum tempeſtatibus, & voluptatis fraudibus, vt iam dixi, circumlutus ſubmergeretur. Ideo enim hominem Verbum aſſumpſit, vt capitale iudicium in eum latū, ſerpentem debellans euerteret. Conueniens enim erat, vt non ab alio, ſed ab eo, ob quem iactanter inſoleſcebat, quod deluſum tyrannidi ſuæ ſubegerat, improbrus hoſtis debellaretur. Quod fieri non poſſet alio modo peccatum dirimi, & iudicatum reſcindi. niſi ille idem homo, cui dictum fuerat; [a] terra es, & in terram reuerteris, *denuo formatus, decretum propter ipſum in omnes ſancitum perfringeret: ut quemadmodum in*

 Ada-

a *Geneſ.* 3. 19.

Adamo omnes mortem obeunt, ſic rurſus in Chriſto, qui Adamum aſſumpſerat, omnes reuiuiſcerent. Et hominem, qui inſtrumentũ, indumentumq; factus fuerat Vnigenito, id effectum eſſe, quod erat ille, qui in ipſo inhabitauerat, ſatis probatum eſt, quare de ea re diſputatio quoque finem habeat. Nullam porro inæqualitatem eſſe, neque inconcinnitatem iterum ab initio ſed breuiſſimo examine declaretur. Natura quippe bonum, id idem & natura ſua iuſtum eſt, & ſanctum, cuius communicatione cætera bona emergunt. & qui ſapientiam ſecundo loco poſt Deum ponit, rectiſſime pronunciat: impium vero, & iniuſtum, & improbum, peccatum eſt. Duo ſiquidem inter

Ἀδὰμ πάντες πρότερον ἀποτεθνήκασι, οὕτω δὴ πάλιν, καὶ ἐν τῷ ἀνειληφότι Χριστῷ τὸν Ἀδὰμ πάντες ζωοποιηθῶσιν. Καὶ περὶ μὲν τοῦ τὸν ἄνθρωπον ὄργανον γεγονότα, καὶ ἔνδυμα τοῦ μονογενοῦς τοῦτο ἀπειργάσθαι, ὅπερ ἦν αὐτὸς ὁ εἰς αὐτὸν εἰσοικισθεὶς, σχεδὸν ἤδη μοι δοκεῖ τέλος ἔχειν. Τὸ δὲ ὅτι μήτε ἀνισότης ἐστὶ, μήτε μὴν ἀναρμοστία πάλιν ἐξ ἀρχῆς διὰ βραχέων ἐπισκεπτέον. Τὸ γὰρ αὐτὸ φύσει καλὸν, καὶ αὐτὸ φύσει δίκαιον, καὶ ὅσιον, οὗ τὰ ἄλλα κατὰ μετοχὴν γίνονται καλά. τὴν σοφίαν ὁ λέγων τυγχάνειν μετὰ Θεὸν, ὀρθότατα λέγει, τὸ δὲ αὖ ἀνόσιον, καὶ ἄδικον, καὶ πονηρὸν τὴν ἁμαρτίαν. δύο γὰρ τὰ εἰς ἄκρον ἀλλήλοις ἐναντία,

ζωὴ καὶ θάνατος, ἀφθαρσία καὶ φθορά. ἰσότης μὲν γάρ ἐστιν ἡ ζωή, ἀνισότης δὲ ἡ φθορά, καὶ ἁρμονία μὲν ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, ἀναρμοστία δὲ ἡ ἀδικία, καὶ ἡ ἀφροσύνη, ὁ δὲ ἄνθρωπος τούτων ὢν μεταξύ, οὔτε αὐτὸ τοῦτο δικαιοσύνη, οὔτε μὴν ἐστὶν ἀδικία, ἀλλὰ τῆς ἀφθαρσίας ἐν μέσῳ βεβηκὼς καὶ τῆς φθορᾶς, εἰς ὁποτέραν αὐτῶν νεύσας προσκλιθῇ, εἰς τὴν τοῦ κρατήσαντος λέγεται μεταβάλλεσθαι φύσιν. ἐκκλίνας μὲν γὰρ εἰς τὴν φθορὰν φθαρτὸς γίνεται, καὶ θνητός, εἰς δὲ τὴν ἀφθαρσίαν ἄφθαρτος καὶ ἀθάνατος. μεθόριον γὰρ τοῦ τῆς ζωῆς ξύλου, καὶ τοῦ γνωστοῦ, καλοῦ τε καὶ πονηροῦ τεθείς, ὅπερ ἀπεγεύσατο τὸν καρπόν, εἰς τὴν τούτου καὶ με-

ter ſe ſumme contraria ſunt, vita & mors, incorruptio & corruptio. Nam æqualitas vita eſt, inæqualitas corruptio; concinnitas iuſtitia & prudentia, inconcinnitas iniuſtitia & ſtultitia. Homo vero inter hæc medius, neque iuſtitia, neque iniuſtitia eſt; ſed in medio incorruptionis, ac corruptionis gradiens, ad quam raptus ſeſe applicuerit, in deuincentis dicitur naturam immutari. Nã ſeſe dedens corruptioni, corruptibilis fit & mortalis, incorruptioni incorruptibilis & immortalis. Confinium nanq; ligni vitæ & ſcientiæ, boni & mali poſitus, cuius fructum deguſtauerit, in illius formam commutatur, cum ipſe neq; lignum vitæ, neque corruptionis ſit, ſed par-

ticipatione & præſentia corruptionis mortalis, coniunctione vero & unctione vitæ incorruptibilis fit & immortalis; quemadmodum quodam in loco Paulus edocuit dicens, [a] neque enim corruptio hæreditabit incorruptionem, neq; mors vitam: *corruptionem & mortem, quod corrumpit & occidit nec abs re definiens, non quod corrumpitur & interit: incorruptionem vero & vitam, quod immortalitatem conciliat, & vitam donat, non quod immortalitatem conſequitur, & vitam acquirit. Quare neque inconcinnitas, neque inæqualitas, immo neq; æqualitas neque concinnitas homo eſt. Sed*

τεβλήθη μορφὴν, οὔτε τὸ τῆς ζωῆς ξύλον αὐτὸς ὢν, οὔτε τὸ τῆς φθορᾶς, ἀλλὰ μετοχῇ μὲν καὶ παρουσίᾳ φθορᾶς, θνητὸς φανεὶς, προσοικειώσει δὲ καὶ ἀλοιφῇ ζωῆς, ἄφθαρτος πάλιν καὶ ἀθάνατος, καὶ ὥσπερ καὶ Παῦλος ἐδίδαξεν εἰπὼν, Οὐ γὰρ ἡ φθορὰ κληρονομήσει τὴν ἀφθαρσίαν, οὐδὲ ὁ θάνατος τὴν ζωήν. φθορὰν μὲν καὶ θάνατον αὐτὸ τὸ φθεῖρον ὁρισάμενος εἰκότι λόγῳ, καὶ τὸ ἀποκτεννύον, ἀλλ' οὐ τὸ φθειρόμενον, καὶ τὸ θνῆσκον, ἀφθαρσίαν δὲ καὶ ζωὴν αὐτὸ τὸ ἀπαθανατίζον, καὶ ζωοποιοῦν, ἀλλ' οὐ τὸ ἀπαθανατιζόμενον, καὶ ζωοποιούμενον. Ὥστε οὔτε ἀναρμοστία καὶ ἀνισότης ὁ ἄνθρωπος ἐστὶν, οὔτε μὴν ἰσότης καὶ εὐαρμοστία, ἀλλ' ὅτε μὲν ἐδέξατο τὴν ἀναρμοστίαν, ὅπερ ἐστὶ τ

cum

[a] 1. Corin. 15.50.

παράβασιν, καὶ τὴν ἁμαρτίαν, γέγονεν ἀνάρμοστος, καὶ ἀπρεπής. ὅτε δὲ τὴν ἁρμονίαν, τουτέστι τὴν δικαιοσύνην, γέγονεν, εὐάρμοστον ὄργανον, καὶ εὐπρεπές. Ὅπως ὁ Κύριος ἡ ἀφθαρσία νικήσασα τὸν θάνατον εὐήχως τὴν ἀνάστασιν μελωδήσῃ τῇ σαρκί, μὴ ἐάσας αὐτὴν κληρονομηθῆναι πάλιν ὑπὸ τῆς φθορᾶς. καὶ μὲν δὴ καὶ περὶ τούτων, ταῦτα ἤδη λελέχθω. προγεγύμνασται γὰρ μετὰ συστάσεως, καὶ σωφρονούσης ἐκ τῆς γραφῆς, ὡς ἄρα καὶ ὁ πρωτόπλαστος δικαίως εἰς αὐτὸν ἀναφέρεσθαι δύναται τὸν Χριστόν, οὐκέτι τύπος ὤν, καὶ ἀπεικασία μόνον, καὶ εἰκὼν τοῦ μονογενοῦς υἱοῦ, ἀλλ' αὐτὸς ὁ μονογενὴς υἱὸς καὶ Λόγος. Δίκην γὰρ ὕδατος ὁ αὐ-

cum acceperit inconcinnitatem, quæ eſt tranſgreſſio, & peccatum, fit inconcinnus ac deformis: cum vero concinnitatem, iuſtitiam dumtaxat, fit concinnum inſtrumentum, & decorum, vt Dominus, incorruptibilitas ipſa deuicta morte, canore reſurrectionem carni concinat, cum non deſerat iterum illius hæreditatem a corruptione ſubripi. Et de his quoque hæc dicta ſunt. Nam antea petitis ex ſcriptura probationibus prudenter aſſertum eſt, primo creatum hominẽ merito in ipſum Chriſtum poſſe referri, non vt figuram, & ſimilitudinem ſolummodo, & imaginem filij vnigeniti, ſed vt ipſum vnigenitum filium, & Verbum. Inſtar enim

aquæ homo immixtus ſapientiæ & vitæ, id ipſum factus eſt, quod erat ipſum, quod in eum recubuit, puriſſimum lumen. Hinc Apoſtolus appoſite, quæ prænarrata ſunt de Adamo, in Christum eiaculauit. Sic enim prorſus ex oſſibus illius & carne Eccleſiam enatam aſſeueraueris, cuius gratia deſerens Patrem in cœlo Verbũ deſcendit, mulieri conglutinandum, & obdormiuit mentis commotionem in paſſione, ſponte pro ea mortem obiens, vt ipſe ſibi metipſi conſtitueret Eccleſiam glorioſam & immaculatam & lauacro repurgatam, ad intellectuale beatumq; ſemen excipiendum, quod ſeminat ipſe quidem, ſuccinens, &

θρωπος συγκερασθεὶς τῇ σοφίᾳ καὶ τῇ ζωῇ, τοῦτο γέγονεν ὅπερ ἦν αὐτό, τὸ εἰς αὐτὸν ἐγκατασκῆψαν ἄκρατον φῶς. ὅθεν ὁ Ἀπόστολος εὐθυβόλως εἰς Χριστὸν ἀνηκόντισε τὰ κατὰ τὸν Ἀδάμ. οὕτως γὰρ ἂν μάλιστα ἐκ τῶν ὀστέων αὐτοῦ, καὶ τῆς σαρκὸς τὴν Ἐκκλησίαν συμφωνήσει γεγονέναι, ἧς δὴ χάριν καταλείψας τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς, κατῆλθεν ὁ Λόγος προσκολληθησόμενος τῇ γυναικὶ, καὶ ὕπνωσε τὴν ἔκστασιν τοῦ πάθους ἑκουσίως ὑπὲρ αὐτῆς ἀποθανὼν, ὅπως αὐτὸς ἑαυτῷ παραστήσηται τὴν Ἐκκλησίαν ἔνδοξον, καὶ ἄμωμον, καθαρίσας τῷ λουτρῷ πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σπέρματος. ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν, καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ νοὸς, ὑποδέχεται δὲ καὶ μορ-

plan-

φοῖ δίκην γυναικὸς ἡ Ἐκκλησία, εἰς τὸ γεννᾶν τὴν ἀρετὴν καὶ ἐκτρέφειν. Ταύτῃ γὰρ τὸ, Αὐξάνεσθε, καὶ πληθύνεσθε, πληροῦται προσηκόντως εἰς μέγεθος, καὶ κάλλος, καὶ πλῆθος αὐξανομένης καθ' ἡμέραν αὐτῆς, διὰ τὴν σύνερξιν, καὶ τὴν κοινωνίαν τοῦ Λόγου, συγκαταβαίνοντος ἡμῖν καὶ νῦν ἔτι, καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους. οὐ γὰρ ἂν ἄλλως ἡ Ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας, καὶ ἀναγεννῆσαι διὰ τοῦ λουτροῦ δύναιτο τῆς παλιγγενεσίας, ἐὰν μὴ καὶ δι' αὐτοὺς ὁ Χριστὸς κενώσας ἑαυτὸν ἵνα χωρηθῇ, κατὰ τὴν ἀνακεφαλαίωσιν, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνῃ καταβὰς ἐξ οὐρανῶν, καὶ προσκολληθῇ ἑαυτοῦ τῇ γυναικὶ τῇ Ἐκκλησίᾳ,

plantans in mentis profunditate: excipit autem & format mulieris in modum Eccleſia, ad generandam virtutem & nutriendam. Hoc plane modo conueniēter completur, creſcite, & multiplicamini, *dum ea in dies ſingulos & magnitudine, & decore, & liberorum vberte copia, per coagmentationem & communionē Verbi, ad nos etiam hoc tempore deſcendentis, & extra ſeſe rapti memoria paſſionis ſuccreſcit. Neque enim alio modo poſſet Eccleſia credentes concipere, & progenerare per lauacrum regenerationis, ni propter eos Chriſtus, qui ſemetipſum exinaniuit, vt capi poſſet, in epilogo paſſionis, vt dixi, iterum moriatur, de cœlo deſcendens, &*

ſuæ vxori Eccleſiæ conglutinatus, patiatur ex coſtæ ſuæ virtute aliquid imminui, vt omnes, qui in eo ædificati ſunt & generati per lauacrum, accipientes ex oſſibus & carne, hoc eſt ex ſanctitate illius & gloria, creſcant. Oſſa ſiquidem & carnem ſapientiæ qui aſſeruerit prudentiam eſſe atque virtutem, ne ille rectiſſime dixerit; coſtam vero ſpiritum veritatis Paracletum, ex quo qui acceperint, in incorruptionem regenerantur, vti addecet, præluſtrati. Fieri autem nequit, vt quis ſpiritus ſancti particeps fiat, & membrum Chriſti euadat, ni prius in ipſum deſcendens Verbum extra ſe fiat obdormiſcens, vt inſtaurationem, & renouationem ſimul

παρέχοι τῆς πλευρᾶς ἀφαιρεῖσθαι τῆς ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξηθῶσιν οἱ οἰκοδομηθέντες ἐν αὐτῷ ἅπαντες οἱ γεγεννημένοι διὰ τοῦ λουτροῦ ἐκ τῶν ὀστῶν, καὶ ἐκ τῆς σαρκὸς, τουτέστιν ἐκ τῆς ἁγιωσύνης αὐτοῦ, καὶ ἐκ τῆς δόξης προσειληφότες. Ὀστᾶ γὰρ καὶ σάρκα σοφίας ὁ λέγων εἶναι σύνεσιν καὶ ἀρετὴν, ὀρθότατα λέγει. πλευρὰν δὲ τὸ Πνεῦμα τῆς ἀληθείας τὸ παράκλητον, ἀφ' οὗ λαμβάνοντες εἰς ἀφθαρσίαν ἀναγεννῶνται πρεπόντως πεφωτισμένοι. Ἀδύνατον δὲ τοῦ Πνεύματος τοῦ ἁγίου μετασχεῖν τινα, καὶ μέλος κληθῆναι Χριστοῦ, ἐὰν μὴ πρότερον καὶ ἐπὶ τοῦτο συγκατελθὼν ὁ Λόγος ἐκστῇ κοιμηθεὶς, ἵνα τὴν ἀνανέωσιν, καὶ τὸν ἀνακαινισμὸν συνεξαναστὰς

reſur.

τῷ ὑπὲρ αὐτοῦ κεκοιμημένῳ, καὶ αὐτὸς μεταλαβεῖν δυνηθῇ τῆς ἀναπλάσεως. τοῦτο γὰρ πάντως ἡ πλευρὰ λέγοιτο τοῦ Λόγου, καὶ Πνεῦμα τῆς ἀληθείας τὸ ἑπτάμορφον κατὰ τὸν Προφήτην. ἀφ᾽ οὗ λαμβάνων ὁ Θεὸς μετὰ τὴν ἔκστασιν τοῦ Χριστοῦ, ὃ δή ἐστι μετὰ τὴν ἐνανθρώπησιν, καὶ τὸ πάθος, τὴν βοηθὸν αὐτῷ κατασκευάζει. λέγω δὴ τὰς ἡρμοσμένας αὐτῷ, καὶ νενυμφευμένας ψυχάς. Ἔστι γὰρ ὅτε πολλαχῶς αὐτὸ τὸ ἄθροισμα, καὶ τὸ στῖφος ἀγεληδὸν τῶν πεπιστευκότων Ἐκκλησίαν ὀνομάζουσιν αἱ Γραφαί. τῶν τελειοτέρων κατὰ προκοπὴν εἰς ἓν πρόσωπον, καὶ σῶμα τὸ τῆς Ἐκκλησίας ἀναγομένων, οἱ μὲν γὰρ κρείττονες, καὶ ζανότεροι ἀσπάσαντες ἤδη τὴν ἀλήθειαν, ἅτε διὰ τὴν

reſurgens cum eo, qui pro ipſo obdormiuit, ſpiritum reformatus participet. Hoc ſiquidem prorſus dicetur coſta Verbi, & ſpiritus veritatis ſeptemformis præditus, vt Propheta ait, ex quo Deus accipiens poſt Chriſti ecſtaſim, poſt incarnationem dumtaxat & paſſionem [a] adiutorium illi præparat, animas nempe ipſi copulatas, & deſponſatas. Aliquando nanq; ipſa collectio, & agmen fidelium Eccleſia nuncupatur a Scripturis, in qua perfectiores ſecundum progreſſum in vnam faciem & in vnum corpus Eccleſiæ referuntur: meliores enim & ſolidiores attracta veritate, & propter perfectam purgatio-

a Geneſ. 2. 18.

gationem & fidem carnis ſterilitatem perpeſſi Eccleſiæ efficiuntur, & adiutores Chriſti, veluti virgines, & quemadmodum Apoſtoli verba ſonant, ipſi adhæreſcentes, & deſponſati, ut puro doctrinæ & fœcundo ſemine excepto, ad reliquorum ſalutem auxiliares veniant prædicationi: Qui vero adhuc imperfecti ſunt, & in diſciplinis tyrones ac rudes parturiuntur, & efformantur, tanquam a matribus a perfectioribus, donec concepti regenerentur, & in magnitudinem virtutis, & pulchritudinem excreſcant. Et ſic progreſſu in Eccleſia meliores effecti, in liberorum aliorum partum, & educationem opem ferant, & vulvæ inſtar

τελείαν κάθαρσιν, καὶ πίστιν ἀποστερηθέντες τῶν τῆς σαρκὸς ἀτοπημάτων, Ἐκκλησίαι γίνονται, καὶ βοηθὸς τοῦ Χριστοῦ, παρθένοι ὥσπερ, κατὰ τὸν Ἀπόστολον αὐτῷ καθηρμοσμένοι τε, καὶ νενυμφευμένοι, ἵνα τὴν καθαρὰν τῆς διδασκαλίας ὑποδεξάμενοι καὶ γόνιμον σποράν, συνεργήσωσι βοηθοῦντες τῷ κηρύγματι πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν. οἱ δὲ ἀτελεῖς ἔτι, καὶ ἀπαρχόμενοι τῶν μαθημάτων ὠδίνονται καὶ μορφοῦνται ὥσπερ ὑπὸ μητέρων πρὸς τῶν τελειοτέρων, ἔστ' ἂν ἀποκυηθέντες ἀναγεννηθῶσιν εἰς μέγεθος, καὶ κάλλος ἀρετῆς. Καὶ πάλιν αὖ κατὰ προκοπὴν Ἐκκλησίαι καὶ οὗτοι γεγονότες, εἰς ἕτερον τόκον ὑπουργήσωσι τέκνων καὶ ἀνατροφὴν, μήτρας δίκην ἐν τῷ

in

δοχείῳ τῆς ψυχῆς τὸ θέλημα τελεσφορήσαντες ἀλώβητον τοῦ Λόγου. ἐπισκέψασθαι γὰρ χρή, καὶ τὰ περὶ τὸν ἀοίδιμον Παῦλον, ὅτι ὁπότε οὐδέπω τέλειος ἦν ἐν Χριστῷ, γεννᾶται πρότερον, καὶ γαλουχεῖται, εὐαγγελιζομένου, καὶ ἀνακαινίζοντος αὐτὸν Ἀνανίου τῷ βαπτίσματι, καθὼς ἐν ταῖς Πράξεσιν ἡ ἱστορία περιέχει. Ὅτε δὲ ἀνδρώθη, καὶ ᾠκοδομήθη, ἤδη εἰς τελειότητα πνευματικὴν ἀναπλασθείς, καὶ βοηθὸς ἀπειργάσθη, καὶ νύμφη τοῦ Λόγου, τὰ σπέρματα τῆς ζωῆς ὑποδεξάμενος, καὶ συλλαβὼν τὸ τηνικαῦτα ὁ πρότερον χρηματίσας παιδίον Ἐκκλησία γίνεται, καὶ μήτηρ ὠδίνων, καὶ αὐτὸς τοὺς δι᾽ αὐτοῦ τῷ Κυρίῳ πεπιστευκότας, ἐπειδὰν καὶ ἐν τούτοις ὁ Χριστὸς μορφωθεὶς ἀπο-

in animi conceptaculo voluntatem Verbi illæſam procreent. Conſideranda quoq; ſunt, quæ de celebri Paulo narrantur, qui cum non dum eſſet perfectus in Chriſto, generatur prius, & lacte enutritur, Euangelium illi annunciante, eumque renouante Anania Baptiſmi lauacro, vt in [a] Actibus Hiſtoria tradit; Vir vero effectus extructuſq; & ad perfectionem ſpiritualem reformatus, adiutor aſſumitur, vitæq; ſeminibus exceptis, tum temporis concipiens, qui antea erat infans, Eccleſia fit, & parituræ mater. hinc ipſe ad illos, qui per ipſum Domino crediderant, cum in illis Chriſtus efformatus regeneraretur,

a Actor. 9. 13.

tur, [a]filioli mei, *ſcribit*, quos iterum parturio, donec formetur Chriſtus in vobis, *Et iterum*. [b]Siquidem in Chriſto Ieſu per Euangelium ego vos genui. *Hoc itaque modo de Adamo & Eua ſpeculationem in Eccleſiam & Chriſtum referri confirmatur. Siquidem id magnum myſterium eſt vereque altiſſimum, quod ego ob imbecillitatem mentiſq; aciem obtuſiorem pro dignitate & magnitudine ſua exponere nequeo. Conandum nihilominus eſt: nanq; reliquum eſt, vt quæ ſequuntur vobis referã. Paulus enim ad ſanctitatem & caſtimoniam omnes adhortans, hac ratione, quæ de primo creato homine & Eua dicta ſunt, ſecundo dubitans*

τεχθῇ, Τεκνία μου γὰρ φησὶν, οὓς πάλιν ὠδίνω, ἕως οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ πάλιν. Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Οὐκοῦν ταύτῃ συνέστηκεν εἰς τὴν Ἐκκλησίαν ἀναφέρεσθαι, καὶ τὸν Χριστὸν, τὸ κατὰ τὴν Εὔαν θεώρημα καὶ τὸν Ἀδάμ. τοῦτο γὰρ τὸ μέγα μυστήριον ὡς ἀληθῶς, καὶ ὑπερκόσμιον, ὃ ἐγὼ δι' ἀσθένειαν, καὶ ἀμβλύτητα νοὸς, κατ' ἀξίαν τε, καὶ μέγεθος εἰπεῖν ἀδυνατῶ. ὅμως δ' οὖν ἐπιχειρητέον. λέγειν γὰρ ἑπόμενον ἂν εἴη λοιπὸν δὴ, καὶ τὰ καθεξῆς πρὸς ὑμᾶς. Ὁ γάρ τοι Παῦλος εἰς ἁγιασμὸν ἐκκαλούμενος πάντας, καὶ σωφροσύνην, ταύτῃ τὰ κατὰ τὸν Πρωτόπλαστον, καὶ τὴν Εὔαν

a Galat. 4. 19.   b 1. Cor. 4. 15.

τὴν δευτέραν ἐπαπόρησιν εἰς Χριστὸν ἀνηκόντισε, καὶ τὴν Ἐκκλησίαν, πρὸς σφῶν ἀνεπιστήμονας κατασιγᾶσθαι γυμνωμένους προφάσεων. ἀκολασταίνοντες γὰρ διὰ τὰς ὑπερβαλλούσας ῥύσεις ἐν αὐτοῖς τῶν ἡδυπαθημάτων, παρὰ τὸν ὀρθόδοξον βιάζεσθαι τολμῶσι λογισμὸν τὰς γραφὰς, ὥσπερ ἔρυμα προανατείνοντες ἀκρασίαν, ὅτι εἶπεν ὁ Θεὸς, αὐξάνεσθε, καὶ πληθύνεσθε. καὶ τὸ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα. οὐδὲ αἰσχύνονται κατατρέχοντες τοῦ Πνεύματος. ἀλλ' ὥσπερ ἐπὶ τούτῳ γεγονότες ἐντυφώμενον ἔτι καὶ ἐνθωπεύοντα τὸν οἶστρον ἀναρριπίζουσιν ἐξάπτοντες ἐρεθισμοῖς. Διὸ δὴ μάλα δεινῶς τοὺς ἐπικλόπους ταύτας

bitans, in Chriſtum & Eccleſiam eiaculauit, vt rerum ſimilium inexperti, deſtituti prætextibus, obmuteſcant. Nanque libidinoſe viuentes propter abundantes in illis mollitierum fluxiones, extra rectam ſententiam ſcripturas etiam per vim adigere audent. vti propugnaculum incontinentiæ protendentes, tum quod dixerit Deus,[a] creſcite & multiplicamini, *tum etiam*, Huius cauſa relinquet homo patrem & matrem, *neque verentur ſpiritum inſectari, ſed æque ac ſi ad hoc nati eſſent. ſuccenſum adhuc, & intus blandientem œſtrum nouis irritationibus inflammantes excitant. Quapropter aſpere admodum furti-*

uam

a Geneſ. 2. 24.

uam hanc eorundem temeritatem, & inſulſe excogitatos prætextus eleuans, conſtituturus, quomodo homines ſeſe gerere debeant cum vxoribus, cum decreuiſſet, non alia ratione, quam ea, qua ſe Chriſtus cum Eccleſia geſſit, qui ſemetipſum pro ea, tradiderat, vt ipſam ſanctificaret, purgans aquæ lauacro in verbo, recurrit ad Geneſim, in memoriam reuocans de primo creato homine dicta, explanatque in propoſitum ſibi argumentum, ne anſam præbeat, qui illis abutentes, de generatione liberorum & carnis congreſſibus intelligũt. Enimuero conſiderate, o Virgines, cum caſte viuere quantum in ipſo erat, credentes percuperet, multis ſignis di-

αὐτῶν κακοφροσύνας τε, καὶ πεποιημένας προφάσεις ἐκκόπτων, ἐλθὼν εἰς τὸ διατάξασθαι, πῶς δέοι προσφέρεσθαι τοὺς ἄνδρας ταῖς γυναιξὶ, καὶ ἀποφηνάμενος, ὅτι οὕτως ὥσπερ καὶ ὁ Χριστὸς τῇ Ἐκκλησίᾳ ἑαυτὸν παραδοὺς ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἀνέδραμεν εἰς τὴν Γένεσιν ἐπιμνησθεὶς τῶν περὶ τὸν Πρωτόπλαστον ῥητῶν, ἐξομαλίζων εἰς τὸν προκείμενον αὐτῷ καὶ αὐτὰ νοῦν τῆς ὑποθέσεως, ὅπως μὴ παράσχῃ λαβὴν τοῖς καταχρῆσθαι τούτοις πρεσβεύουσι τὰς περὶ τεκνογονίας σωμάτων διατριβάς. Ἐπισκέψασθε γὰρ ὅτι σωφρονεῖν, ὦ Παρθένοι, κατὰ κράτος θέλων τοὺς πεπιστευκότας διὰ πολλῶν αὐτοῖς τεκμηρείων ὑπεφήνατο ὁρᾶσθαι τὸ ἀξίωμα τῆς ἁγνείας, ὅτε

μὲν, περὶ δὲ ὧν ἐγράψα-
τέ μοι λέγων, καλὸν ἀν-
θρώπῳ γυναικὸς μὴ ἅ-
πτεσθαι, αὐτόθεν δείκνυσι
περιφανῶς, τὸ μὴ προσ-
ψαύειν γυναικὸς εἶναι κα-
λόν. προτάξας αὐτό, καὶ
προεκθέμενος ἀπολελυ-
μένως. Εἶτα τὴν ἀσθένειαν
αὖθις συνιδὼν καὶ τὴν ὑπέκ-
καυσιν τῶν ἀκρατεστέρων
τὴν εἰς συνουσίαν, συνε-
χώρησε τοῖς μὴ δυναμέ-
νοις ἄρχειν σαρκός, χρῆσθαι
τῶν ἑαυτῶν ὁμεύνοις μᾶλ-
λον, ἢ παραπίπτοντας ἀ-
σχημόνως ἐκχεῖσθαι περὶ
πορνείας. Ἀμέλει τοι τὸ
ἐπιζέψαι ταῦτα παρήγα-
γεν εὐθέως· Τοῦτο δὲ ἵνα
μὴ πειράζῃ ὑμᾶς ὁ Σα-
τανᾶς διὰ τὴν ἀκρασίαν,
ὅπερ ἐστὶν, εἰ δὲ μὴ δύ-
νασθε, ὦ οὗτοι, σωφρονεῖν
διὰ τὴν ἀκρασίαν, καὶ
ὑγρότητα τῶν σωμάτων,

gnitatē caſtimoniæ demonſtrare conatur, tum [a] de quibus autem ſcripſiſtis mihi, *dicens,* bonum eſt homini mulierem non attingere; *his aperte oſtendit, non attingere mulierem, bonum eſſe, præponens illud & explicans abſolute: tum deinceps imbecillitatem deprehendens, & minus continentium ad congreſſum incitamenta, permiſit ijs, qui carnem reprimere non valerent, proprijs uxoribus uti, ne dilabentes indecore in adulteria effundantur, cum ſtatim atque illa adhortatus eſt, ſubiunxerit.* [b] Hoc autem, ne tentet uos Satanas propter intemperantiam. *Quod prorſus eſt, ſi vos non poteſtis propter intemperantiam,* *&*

a 1. *Corinth.* 7. 1. b 1. *Corinth.* 7. 5.

& corporum mollitiem caſte viuere, permitto potius, vt vna cum uxoribus conſueſcatis, & ne continentiam profitentes, ſæpius tentemini ab improbo hoſte in alienas inflammati. Age vero nunc ipſa verba propoſita diligentius examinemus: Non abſolute Apoſtolus ſimilia inſinuat, ſed addita prius cauſa in hoc adactus eſt. Cum itaq; decreuiſſet,[a] bonum *eſſe* homini mulierem non attingere, *illico ſubnexuit,*[b] Propter vero fornicationem ſuam quiſq; vxorem habeat: *hoc eſt, propter violentiam fornicationis, ſi non valetis voluptatem reprimere.*[c] Et ſuum quæq; mulier virum habeat. vxori vir debitum reddat: ſimiliter autem

ἐπέτρεψα μᾶλλον, τὸ σφῶν αὐτῶν κοινωνεῖν γαμεταῖς. καὶ ἵνα μὴ ἐγκράτειαν ἐπαγγέλλεσθαι νομιζόμενοι πειράζησθε συνεχῶς ὑπὸ τοῦ πονηροῦ, εἰς ἀλλοτρίας ἐκφλεγόμενοι. Φέρε γὰρ αὐτὰ τὰ κείμενα διαθρήσωμεν ἐπιμελέστερον, ὅτι μὴ ἀπολελυμένως ὁ Ἀπόστολος ἐπένδωσε ταῦτα τοῖς πολλοῖς, ἀλλὰ προσθεὶς τὴν αἰτίαν πρότερον, εἰς τοῦτο προηνέχθη. Ἀποφηνάμενος γοῦν καλὸν εἶναι, γυναικὸς ἀνθρώπῳ μὴ ἅπτεσθαι, εὐθέως παρήγαγε. διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. τουτέστι, διὰ τὴν ἀνάγκην τῆς πορνείας, εἰ μὴ φέρετε κολάζειν τὴν ἡδονήν. καὶ ἑκάστη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ γυναικὶ ὁ ἀνὴρ

tem

a 1. Corinth. 7. 1. b 1. Corin. 7. 2. c 1. Corin. 7. 2.

τὴν ὀφειλὴν ἀποδιδότω. ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ προσευχῇ. καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. Τεθεωρημένως δὲ σφόδρα καὶ τοῦτο. κατὰ συγγνώμην γὰρ ἐπεσημήνατο συμβεβουλευκέναι νῦν, καὶ οὐ κατ' ἐπιταγήν. Ἐπειδὴ τὴν μὲν ἐπιταγὴν ἐπὶ τῆς σωφροσύνης, καὶ τὸ, γυναικὸς μὴ ἅπτεσθαι παραλαμβάνει, τὴν δὲ συγγνώμην ἐπὶ τῷ μὴ δυ-

tem & vxor viro. Vxor proprij corporis ius non habet: ſimiliter & maritus proprij corporis ius non habet, ſed mulier. Ne fraudetis vos inuicem, niſi ſiquid ex conſenſu pro tempore, vt vacetis precationi, & rurſus in idem conueniatis, ne tentet vos Satanas propter intemperantiam. Hoc autem dico ſecundum indulgentiam, non ſecundum præceptum. *Conſiderate admodum & hoc: indulgens etenim nunc, vt dat intelligi, non vero præcipiens, conſilium dat. Quandoquidem præceptum dat de caſtimonia, cum dicit;* mulierem non tangere, *indulgens vero permittit ÿs, qui non poſſunt intemperantiam repri-*

mere, cum ſcribit, De viris itaque, qui vnicam tantum habent vxorem, & de mulieribus, quæ vnum virum, hæc & ſimilia rurſus decernit. De viris autem qui orbati ſunt vxoribus, vel de mulieribus, quæ coniuges amiſerunt, iterum ipſam accurate Apoſtoli vocem inueſtigo, quid ille veluti ex oraculo reſpondeat. [a]Dico autem in coniugatis & viduis; bonum eis eſt, ſi manſerint vt & ego. Quod ſi ſe non continent, contrahant matrimonium: nam ſatius eſt matrimonium contrahere quam vri. *Perſtat hic quoque in eadem ſententia, & continentiam præfert. Nam ſemetipſum in exemplum potiſſimum ad imitandum proponens, auditores*

ναμένων, ὡς ἔφην, κολάζειν τὴν ἐπιθυμίαν. Καὶ περὶ μὲν οὖν μονογάμων τε καὶ μονογαμίδων ἕως ἔτι, καὶ αὖθις ταῦτα νομοθετεῖ. περὶ δὲ τῶν ἀποβαλλομένων ἤδη γαμετὰς ἀνδρῶν, ἢ γυναικῶν τοὺς σύζυγας πάλιν αὐτὴν ἀκριβῶς ἐξιχνεύω τοῦ Ἀποστόλου τὴν φωνὴν, ὅτι ποτε χρησμῳδεῖ. Λέγω δὲ τοῖς ἀγάμοις, καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ, εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. κρεῖσσον γὰρ γαμῆσαι, ἢ πυροῦσθαι. Ἐπέμεινε καὶ ἐνθάδε προκρίνων τὴν ἐγκράτειαν. ἑαυτὸν γὰρ παράδειγμα μέγιστον λαβὼν εἰς τὸ ζηλῶσαι τοὺς ἀκροατὰς προεκαλέσατο ταύτην τὴν

a 1. *Corinth.* 7. 8.

ἔνστασιν, κρεῖττον εἶναι δι-
δάξας τὸν ἐπὶ μιᾷ γα-
μετῇ συνεζευγμένον ἐφ'
ἑαυτοῦ μένειν, ὥσπερ δὴ
καὶ αὐτός. εἰ δ' αὖ τοῦτο
διὰ τὴν ἐκπύρωσιν, καὶ
τὴν ἀκμὴν τοῦ σώματος
δυσκατόρθωτον εἴη τινὶ, εἰς
δεύτερον κατὰ συγγνώμην
παρελθεῖν τὸν οὕτως ἔχον-
τα συγκατατίθεται γάμον,
οὐκ αὐτὸ τοῦτο τὴν διγα-
μίαν ἀποφηνάμενος εἶναι
καλὸν, ἀλλ' ἄμεινον κρί-
νας τῆς ἐκπυρώσεως. Ὥσ-
περ γὰρ εἴ τις ἐν ἡμέρᾳ τοῦ
Πάσχα, καὶ τῆς νηστείας ἐ-
πισφαλῶς νοσηλευομένῳ
προσέφερε τροφὴν, καὶ
ἐκέλευε διὰ τὴν ἀσθένει-
αν ἀπογεύεσθαι τῶν προσ-
φερομένων τούτων, λέ-
γων. ὡς ἄρα τὸ μὲν ἀ-
ληθῶς, ὦ οὗτος, καλὸν, ἐ-
χρῆν ὥσπερ δεῖ καὶ ὑμᾶς
καὶ σὲ καρτερῶς διαμεί-
ναντα τῶν αὐτῶν μεταλα-

*res adhortatur hac in-
ſtantia, ſatius eſſe e-
docens, vni mulieri
coniunctum in ſeipſo
manere, quemadmo-
dum & ipſe manet:
quod ſi propter inflam-
mationem, & corpo-
ris vigorem id factu
plane difficile fuerit,
ad ſecundas tranſire
nuptias, per indulgen-
tiam tamen permittit
illi, qui ita affectus eſt:
non inde ſecundas nu-
ptias bonum eſſe decla-
rat, ſed meliores illas
vſtione iudicat. Quem-
admodum enim ſi quis
Paſchatis aut ieiunij
die periculoſe ægrotan-
ti cibum propinaret, iu-
beretque propter infir-
mitatem deguſtare,
dicens, vere bonum,
ò amice, poſcebat, ſi-
cuti nos, ita & te
fortiter perſeuerantem,
ab oblatis abſtinere. Nanque hac die vel me-*

moria cibum recolere, prohibitum eſt: veruntamen, cum morbo præoppreſſis membris, vigor non conſtet, & tolerare potis non ſis, propterea indulgentia vigorem relaxantes, conſultamus, cibum adhibere, ne prorſus ob morbum, cui carentia nutrimẽti reſiſtere non vales, a vita deſciſcas. Non alio modo hic Apoſtolus, cum prius dixiſſet, velle ſe omnes caſtos perſeuerare, vt & ipſe manebat: poſtmodum perturbationum morbo grauatis, ne ſtupris, affectionibus, & membrorum irritamentis veluti œſtro concitati, alienorum corporum immixtionibus commacularentur, ſecundas nuptias permiſit, meliores eas eſſe ratus, quam vri,

βᾶν. ἀπηγόρευται γὰρ σήμερον τροφῆς ἐπιμνησθῆναι τὸ σύνολον. ἀλλ' ἐπειδὴ νόσῳ προκαταχεθεὶς ἐξησθένησας, καὶ οὐ δύνῃ φέρειν. ταύτῃ δὴ συγγνώμην ἀπονέμοντες, συμβουλευόμεθα σιτίων ἐπορέξασθαί σε, ἵνα μὴ παντάπασιν διὰ τὴν νόσον, οὐ δυνηθεὶς ἀντισχεῖν πρὸς τὴν ἐπιθυμίαν τῆς τροφῆς, διαφθαρῇς. Οὕτω καὶ ὁ Ἀπόστολος ἐνθάδε πρότερον εἰπὼν, ὅτι βούλοιτο πάντας οὕτως διαμεῖναι σώφρονας, ὥσπερ δὴ καὶ αὐτὸς, τὸ μετὰ ταῦτα τοῖς βεβαρημένοις νόσῳ τῶν παθῶν, ἵνα μὴ πορνείαις μιανθῶσιν οἱ στηλατούμενοι τοῖς πάθεσι, καὶ τῶν μελῶν τοῖς γαργαλισμοῖς, εἰς ἐπιμιξίας ὀθνείων σωμάτων, ἐπέτρεψε τὴν διγαμίαν μᾶλλον, κρεῖσσον αὐτὴν εἶναι κρίνας τοῦ πυροῦσθαι καὶ ἀσχημονεῖν. Καὶ

&

περὶ μὲν ἐγκρατείας, καὶ
γάμων, καὶ σωφροσύνης,
καὶ κοινωνίας, καὶ ἐν τίνι
τούτων τὸ ὠφέλιμον ἐστὶν
εἰς δικαιοσύνης κατα-
σκευὴν, σχεδὸν ἤδη μοι
τέλος ἔχει. Περὶ δὲ παρ-
θενίας εἰρῆσθαι λείπεται λοι-
πὸν, εἴ τι καὶ περὶ ταύτης
ἄρα διαθεσμοθετεῖται. οὐ-
κοῦν καὶ τούτων πέρι
διαληπτέον. ἔχει γὰρ ὧδε.
Περὶ δὲ τῶν παρθένων ἐ-
πιταγὴν Κυρίου οὐκ ἔχω.
γνώμην δὲ δίδωμι ὡς ἠ-
λεημένος ὑπὸ Κυρίου
πιστὸς εἶναι. νομίζω οὖν
τοῦτο ὅτι καλὸν ἀνθρώ-
πῳ οὕτως εἶναι. δέδεσαι
γυναικί; μὴ ζήτει λύσιν.
λέλυσαι ἀπὸ γυναικός;
μὴ ζήτει γυναῖκα. ἐὰν
δὲ καὶ λάβῃς, οὐχ ἥμαρτες.
καὶ ἐὰν γήμῃ ἡ παρθένος

& indecora agere. Et de continentia, & nuptijs, & caſtimonia, & congreſſu hominum, & quodnam ex his ad iuſtitiam comparandã conferat, iam per me ſermo ad exitum adductus eſt. Reſtat vt de Virginitate dicamus, ſi quid eſt, quod de ipſa quoque decernatur. Quare de ea etiam differendum eſt. Verba autem ita ſe habent. De Virginibus autem præceptum Domini nõ habeo: conſilium tamen do tanquam miſericordiam conſecutus a Domino, vt ſim fidelis. Arbitror igitur hoc bonum eſſe homini ſic eſſe. Alligatus es vxori? ne quæras ſolutionem. Solutus es ab vxore? ne quæras vxorem. Quod etiam ſi duxeris, non peccaſti. Et ſi nupſerit Virgo non

 pec-

a 1. Corinth. 7. 25.

peccauit. Attamen afflictionem in carne habituri ſunt huiuſmodi. Ego vero vobis parco, *Circumſpecte admodum de Virginitate ſermone introducto, conſilium daturus, Virginem ſuam elocare nuptum, cuicunque libuerit: ne quæ ad ſanctitatem deferuntur vi ac neceſſitate ſed libero animi propoſito videantur fieri: Hoc enim complacitum eſt Deo, non vult hæc a ſeipſo ex auctoritate dici, elocari nempe Virginem, ſed cum dixiſſet,* [a] Et ſi nupſerit Virgo non peccauit, *rurſum cautior factus aſſenſum deturbauit, & indulgentia humana, non autem recta ea conſultaſſe demonſtrat. Statim itaque*

οὐχ ἥμαρτε. Θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. Ἐγὼ δὲ ὑμῶν φείδομαι. Λίαν εὐλαβῶς τὸν περὶ παρθενίας εἰσηγησάμενος λόγον, καὶ μέλλων συμβουλεύειν γαμίζειν τὴν παρθένον, ὅτῳ φίλον, τὴν ἑαυτοῦ, ὅπως δὴ μηδὲν τῶν εἰς ἁγιασμὸν ἀναφερομένων κατ᾽ ἀνάγκην γίνοιτο καὶ βίαν, ἀλλὰ κατὰ πρόθεσιν αὐτεξούσιον ψυχῆς, τοῦτο γὰρ προσφορον Θεῷ, οὐ βούλεται ἐξ αὐθεντίας αὐτοῦ ταῦτα, καὶ γνώμης λέγεσθαι Κυρίου, τουτέστι τὸ, γαμίζεσθαι τὴν παρθένον, ἀμέλει φήσας, ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε, σχεδὸν πάλιν ὑπευλαβηθεὶς ἀνετάραξε τὴν συγκατάθεσιν, καὶ συγγνώμην ἀνθρωπίνην ὑπεμβαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ᾽ οὐ κατ᾽ εὐθεῖαν. Εὐθέως

a 1.Corin.7.28.

σου μετὰ τὸ εἰπεῖν, καὶ ἐὰν γήμῃ ἡ παρθένος, ἐπήγαγε τὸ, Θλῖψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι. ἐγὼ γὰρ ὑμῶν φείδομαι. ὃ δή ἐστιν. ἐγὼ δὲ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα συνεθέμην δήπου, ἐπειδήπερ οὕτως αὐτοὶ φρονεῖν εἵλεσθε. ὅπως δὲ μὴ δόξω μάχεσθαι, καὶ κατατρέχειν ὑμῶν εἰς τοῦτο, καὶ καταναγκάζειν τινάς. Ὅμως δὲ ἐπειδὴ ἐπὶ τὸ γαμεῖν μᾶλλον τρέπεσθε, ἀποδυσπετήσαντας ὑμᾶς ὁρῶν, οὕτω λυσιτελεῖν ἡγοῦμαι κρατεῖν τῶν τῆς σαρκὸς ἐρεθισμάτων, ἵνα μὴ περιπέσωμεν εἰς ἐπιθυμίας κενάς, τοῖς ἑαυτῶν σκεύεσιν ἀρκούμενοι. καὶ πάλιν. Τοῦτο δὲ λέγω ἀδελφοί, ὁ καιρὸς λοιπὸν συνεσταλμένος ἐστίν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς

que poſtquam dixit, [a] Et ſi nupſerit Virgo non peccauit, *ſubnexuit*, Attamen afflictionem in carne habituri ſunt huiuſmodi. Ego vero vobis parco. *Quod eſt; Ego autem vobis parcens, o amici, hæc vtcunque aſſenſus ſum, quandoquidem vos eam ſententiam amplexi eſtis. Ne vero viderer verbis cum vobis pugnare, & ex vobis nonnullos per vim in illud adigere; cum vos potius ad nubendum procliues, & ægrotis ſimiles faſtidientes aſpiciam, conducere reor, carnis irritamenta dominatu præmere, ne in inania deſideria decidamus, noſtris vaſculis contenti. Et iterum.* [b] Hoc vero dico fratres, tempus contractum

a 1. Corinth 7. 29.   b 1. Corinth. 7. 29.

eſt, vt qui habent vxores tanquam non habentes ſint. *Tum rurſus inſiſtens, & ſimilia adhortans & valide Virginitatis inſtantiam corroborans orationem expedijt. hæc itaq; verba quæ ſequũtur ipſiſſima poſitis antea ſubiunxit.*[a] Volo autem vos abſque ſolicitudine eſſe, qui celebs eſt curat ea quæ ſunt Domini. quomodo placiturus ſit Domino. At qui duxit vxorem ſolicitus eſt de ijs, quæ ſunt mundi, quomodo placiturus ſit vxori, & diuiſa eſt & mulier & Virgo. Mulier celebs curat ea quæ ſunt Domini, vt ſit ſancta cum corpore tum ſpiritu, quæ nupta eſt, curat ea, quæ ſunt mundi, quomodo placitura ſit viro. *Omnibus enim abſq; dubio planum eſt,* ac-

μὴ ἔχοντες ὦσιν. Εἶτα αὖθις ἐπιμένων, καὶ παρακαλούμενος ἐπὶ τοῖς αὐτοῖς, ἐπεξειργάσατο τὸν λόγον ἰσχυρῶς κρατύνων τὴν ἔνστασιν τῆς παρθενίας. Ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρημένοις ἐπεφώνησε. Θέλω δὲ ἀμερίμνους ὑμᾶς εἶναι. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ. ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. καὶ μεμέρισται καὶ ἡ γυνὴ, καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι, καὶ πνεύματι. ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. Πᾶσι γὰρ ἀναμφισβήτως ἐστὶ καταφανὲς, ὡς ἄρα μεριμνᾶν τὰ τοῦ

b 1. Corin. 7. 32.

Κυρίου, καὶ ἀρέσκειν τῷ Κυρίῳ, πολλῷ ἄμεινον τοῦ μεριμνᾷν ἐστι τὰ τοῦ κόσμου, καὶ ἀρέσκειν τῇ γυναικί. Τίς γὰρ οὕτως ἠλίθιος, καὶ πηρὸς τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἰσθάνεται τὴν παραίνεσιν Παύλου τὸ πλέον ῥέπουσαν εἰς ἁγνείαν. τοῦτο γὰρ, φησι, πρὸς τὸ ὑμῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν περιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον. Ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις, ὅπως καὶ θεοδώρητον τὸ τῆς παρθενίας ἐπιτήδευμα παρεγγυᾷ. ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας ἀκρατεστέρως εἰς τοῦτο παρεληλυθότας ἀποβάλλεται, συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς σφυγμοὺς, καὶ φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρ-

accurare quæ ſunt Domini, & placere Domino, multo præſtantius eſſe quam accurare, quæ ſunt mundi, & vxori placere. Quis adeo mente captus eſt, & lumine oculorum caſſus, qui non intelligat ex his ipſis verbis adhortationem Pauli magis ad caſtimoniam inclinare? [a] Hoc autem, *ait*, ad id quod vobis conducibile eſt, dico, non vti laqueum vobis inijciam, ſed ad id quod honeſtum eſt. *Præter ea, quæ dicta ſunt, attendito, qua ratione Virginitatis facinus, a Deo impertiri denũciet. Hinc intemperantiores, qui vanæ gloriæ nomine, illud aggrediuntur, reijcit conſultans, nubere, ne vigoris tempore motus illis inordinatos, & inflammatio-*

a 1. Corin. 7. 35.

tiones carne excitante, veluti œſtro in animo conciti, indecore ſeſe gerant. Quid porro tradat, examinandum.

[a] Quod ſi quis indecorum Virgini ſuæ putat, ſi prætereat nubendi tempus, & ſic oportet fieri, quod vult faciat, non peccat. iungantur matrimonio. *Appoſite hic nuptias indecoræ actioni præponens, tractat de illis, qui virginitatem amplectuntur, ſed poſtmodum ægre ferunt, & in labore exercentur, & ſermone quidem, reueriti homines, profitentur, opere vero, longiſſime a caſtratione diſiunguntur. Et plane ſponte iſti iudicantur, ium quod profeſſi ſunt non expleant, licet nulla neceſſitate, affectione dumtaxat, quæ conciet*

κῶς, ἀσχημονῶσιν οἰστρηλατούμενοι τὴν ψυχήν. τί γὰρ παραδίδωσιν ἐπισκεπτέον. Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, φησίν, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει. γαμείτωσαν. Οἰκείως ἐνταῦθα προσκείνας τὸν γάμον τῆς ἀσχημοσύνης, ἐπὶ τῶν βουλομένων μὲν παρθενεύειν, δυσαναχετούντων δὲ τὸ μετὰ ταῦτα, καὶ καμνόντων, καὶ λόγῳ μὲν δι' αἰδῶ τὴν πρὸς ἀνθρώπους αὐχούντων, ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδείξασθαι δυναμένων τὸν εὐνουχισμόν. Καὶ μὴν αὐθαιρέτως κρίνονται οἱ τοιοῦτοι παρὰ τὴν ἐπαγγελίαν αὐτῶν, καὶ μὴ ἔχοντες ἀνάγκην, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τῆς

a 1. Corinth. 7. 32.

ὀσφὺν εἰς συνουσίαν. ἔστι γὰρ δὴ καὶ διαφορὰς ὡς εἰκὸς σωμάτων, τούτῳ διαμιλλωμένῳ, καὶ διαθλοῦντι, καὶ σπουδαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ, καὶ ταύτην ἄριστα διαπεραινομένῳ, παρακελεύεται μένειν, καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων. ὁ γὰρ δυνάμενος καὶ φιλοτιμούμενος, φησί, τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον, κρεῖττον ποιεῖ. ὁ δὲ μὴ δυνάμενος, γαμίζων δὲ νομίμως, καὶ μὴ λαθροφθορῶν, καλῶς. καὶ περὶ τούτων μὲν αὐτάρκως. Λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολήν, καὶ καθ' ἕκαστον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις, τότε καὶ τὰ ὑφ' ἡμῶν λεγόμενα σκεψάσθω, αὐτὰ παραβάλλων, εἰ μὴ συμφωνίας

citet, lumbos ad congreſſum, cogantur: par eſt enim eſſe quoque diuerſitates corporum: certanti vero, laboranti que, & ſtudioſe perſeueranti in promiſſione, eamque quam optime perſoluenti, primas partes tribuens virginitati, præcipit perſiſtere, & eam ſeruare. Qui enim poteſt, obnixeq; contendit carnem ſuam conſeruare virginem melius facit: qui vero non poteſt, nubens legitime, iura legitimi thori minime fallens, bene. Et de his ſatis abundeque eſt. Accipiat vero præ manibus quicunque vult ad Corinthios Epiſtolam, & ſingula, quæ in ea continentur, & a nobis iam diſcuſſa ſunt, & accurata comparatione examinet, & conſideret; an omnia concorditer

inter ſe congruant, & conformiter reſpondeant. Hæc tibi, vti potui, pro caſtimonia, o Virtus, & ipſa confero. EVBVL. *Nimium multis, o Gregorium, & pro re propoſita, longius remenſa ſermonũ pelagus peruaſit.* GRE. *Ita ſe habere videtur; ſed age & reliqua ſeruato ordine, vt vt acciderunt, veſtigijs perorantium inſiſtentes percurramus, donec mihi auditio illa in auribus perſtrepit, antequam fugiat auoletque; Facile ſiquidem nouarum auditionum memoriæ, ſi eæ apud ſenes repoſitæ ſunt, obliuione delentur.* EVBVL. *Sed proſequere. Ad hos etenim ſermones audiendos huc libenti animo proceſſimus.* GREG. *Et vero, vt dixiſti, poſtquam Thalia curſibus tran-*

ἁπάσης ἔχονται, καὶ ὁμοφροσύνης τῆς περὶ αὐτά. Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, κἀγὼ συνεισφέρω. ΕΥΒΟΥΛ. Σφόδρα διὰ πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς τὸ προκείμενον, μακρότερον ἀναμετρησαμένη καὶ περαιωθεῖσα πέλαγος λόγων. ΓΡΗΓΟΡ. Ἔοικεν οὕτως ἔχειν. Ἀλλ' ἴθι καὶ τὰ λοιπὰ ἐφεξῆς μνημονεύσαντες μιμητικώτατα διέλθωμεν, ὡς ἔτι ἔναυλον τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ, πρὶν ἀποπτῆναι καὶ διαφυγεῖν. Εὐεξάλειπτοι γὰρ νέων ἀκουσμάτων μνῆμαι γερόντων. ΕΥΒΟΥΛ. Ἀλλὰ λέγε. Τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμένως ἀκουσόμενοι τῶν λόγων. ΓΡΗΓΟΡ. Καὶ μὴν δή, καθάπερ εἶπας, μετὰ τὸ καταχθῆναι τὴν Θάλειαν

δρόμοις ἀκυμάντοις εἰς τὴν γῆν, ἡ Θεοπάτρα ἐφεξῆς ὑπολαβοῦσα ἑαυτὴν, ἔφη, εἰπεῖν τάδε.

ΘΕΟΠΑΤΡΑ.

Εἰ μὲν ἐπὶ τῶν αὐτῶν, ὦ Παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης, καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον, οὐδεμία ἂν ὑπῆρχε μηχανὴ, μὴ οὐκ ἀποκναίειν ἐπιχειροῦσαν τοῖς ἤδη προηγωνισμένοις. εἰ δὲ μυρίοι συναναφαίνονται τρίβοι, καὶ διέξοδοι πολυμερῶς, καὶ πολυτρόπως ἐπιπνέοντος ἡμῖν τοῦ πνεύματος, τίς ἀποκλήρωσις ἐγκαλύπτεσθαι, καὶ δειλιᾶν; οὐκ αὖ ὑπ᾽ ἀγνοίας ὀκνήσαιμεν τῆς χάριτος, καὶ τὰ καλὰ μὴ

tranquillis in terram aduecta eſt, Theopatram deinceps ſeſe ipſã recolligentem dixiſſe ſimilia, retulit.

THEOPATRA

SI in ÿſdem, o Virgines, ſemitis oratoriæ artis ſapiẽtia conſiſteret, & eandem ſemper tereret viam, nulla ſuppeteret machinatio, quo minus non retrocederem, & e dicendo abſtinerem, cum adeo multa iam dicta ſint. Quodſi innumeræ prope repræſententur ſemitæ, & tranſitus; varÿs multiſque modis afflante nos ſpiritu, quis erit electionis noſtræ fructus, velari, & pauidam pertimeſcere? Nunquam id fiet, vt gratiæ ignoratione laborem ſubterfugiamus, & quæ pulchra ſunt negligamus adornare,

&

& quæ mala, non diſperdere. Et quanam ratione nos non audebimus donorum Chriſti lucidiſſimum & præcioſiſſimum ſydus caſtimoniam laudibus extollere? latiſſima enim & æque abundantiſſima Spiritus hæc via eſt. Vnde vero initio ſumpto rebus propoſitis conuenientia & conſentanea dicere æſtimabimur? conſiderandum. Ipſa ſiquidem accurate intelligere mihi videor, reſtitutionis in paradiſum, & in incorruptionem mutationis, & cum Deo reconciliationis nullam aliam cauſam fuiſſe, & hominibus proficuum & ſalutare, quod nos duxerit in vitam, quam caſtimoniam. Conabor itaque, uti ratione animoque luſtro, de his nunc demonſtrationes affer-

κοσμῆσαι, καὶ τὰ φαῦλα μὴ διασκεδάσαι. Καὶ πῶς οὐκ ἐπαινέσαι τολμήσομεν τῶν χαρισμάτων τὸ καλλιφεγγὲς ἄστρον, καὶ τιμαλφέστατον τοῦ Χριστοῦ τὴν ἁγνείαν; εὐρυτάτη γὰρ ἡ τοῦ πνεύματος αὕτη, καὶ ἄφθονος ὁδός. Πόθεν οὖν ἀπαρξάμεναι δὴ πρέποντα δέξομεν, καὶ εἰκότα λέγειν τοῖς προκειμένοις, ἐντεῦθεν ἐπισκεπτέον. Ἐγὼ γὰρ ἀκριβῶς αἰσθάνεσθαί μοι δοκῶ, ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκαταστάσεως, καὶ τῆς εἰς τὴν ἀφθαρσίαν μεταβολῆς, καὶ τῆς πρὸς τὸν Θεὸν καταλλαγῆς, οὐδὲν αἴτιον ὄντως ἄλλο γέγονε, καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆσαν ἡμᾶς εἰς ζωὴν, ὡς ἁγνεία. πειράσομαι γὰρ, ἣ διανοοῦμαι, περὶ τούτων ἐνδείξασθαι νῦν, ἵνα

σαφῶς τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσαντες, πόσων ἡμῖν ἀγαθῶν παρεκτικὸν ἐγεννήθη, γνῶτε. Τὸ γοῦν ἀρχαῖον μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα διὰ τὴν παράβασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη, καὶ φερόμενον σφοδρῶς ἐξαισίοις συρμοῖς, οὐ μόνον ἔξωθεν ἀτάκτως παρέφερε τὸ προστυγχάνον, ἀλλ' ἤδη καὶ ἐπεισχεόμενον εἴσω κατέκλυζε τὰς ψυχάς. αἱ δὲ συνεχῶς τοῦτο πάσχουσαι, καὶ δυσμαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλγήσασαι τὰ σφέτερα σκάφη, παρὰ τὸ μὴ ἔχειν ἐφάψασθαι βεβαίου τινός. Αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστήμονες, ἐπειδὰν τὴν ἔξωθεν περιαπιπτόν.

afferre, vt vim prælaudati muneris percipientes, plane quot nobis donorum cauſa fuerit cognoſcatis. Antiquitus itaque ad alia loca habitanda ob transgreſſionem homine ablegato, corruptionis fluxus late effuſus, pererrans longe, & magno ac violento impetu, & tractibus furentibus vagatus, non tantum deforis inordinate, quidquid obuiam veniſſet rapide aſportabat, ſed etiam in interiora immerſus, animos ſuffocabat, qui ſæpius id perpeſſi ſurdi & rudes agebantur, proprias naues gubernare diffiſi, quod non haberent ſolidum, in quo pedem figerent. ſenſus etenim animi, vt de rebus hiſce inſtructi, tradunt, cum ab externis affectionibus,

bus, quæ euenire ſolent, oppreſſi, locum dederint impreſſionibus interiora obruentis undæ ſtultitiæ, obtenebrati, ſtatim diuini impetus quidquid tranquillum eſt, natura obſecundante, etiam ſi acceſſerit, conceptaculũ occludunt. Hinc itaque Deus miſeratione noſtri commotus, cum ita affecti, neq; attolli, neq; a lapſu erigi poteramus, de cœlo, optimum & glorioſum auxilium Virginitatem demiſit; ut ea circumueſtientes corpora noſtra, ea inſtar nauium in portu conſidentium poſſideremus, ſicque abſque corruptione tranquillitate potiremur, quemadmodum Spiritus peropportune, & ſatis aperte in ſexto & triceſimo ſuper centeſimum Pſalmum cecinit, in quo, pro gratiarum actione hilariter

τῶν παθῶν ἡττηθεῖσαι προσδέξονται. τὰς ἐπιφορὰς τοῦ τῆς ἀνοίας ἐπικλύζαντος εἴσω κύματος, εὐθέως τῆς θείας ὁρμῆς ἐμποδίζουσι, σκοτωθεῖσαι τὸ πᾶν αὐτῆς εὔδιον προελθὲν κατὰ φύσιν κῦτος. Ὅθεν οὖν ὁ Θεὸς οἰκτειρήσας ἡμᾶς ἔχοντας οὕτως, καὶ οὔτε ἀνασχεῖν, οὔτε ἀνασφῆλαι δυναμένους κατέπεμψεν ἐκ τῶν οὐρανῶν τὸ ἄριστον, καὶ εὐκλεέστατον βοήθημα τὴν Παρθενίαν, ὅπως ἐξ αὐτῆς ἀποδύσαντες ἡμῶν τὰ σώματα, πλοίων δίκην γαλήνην ἔχωμεν ὁρμισθέντων ἄνευ φθορᾶς, καθὼς καὶ τὸ Πνεῦμα καιρίως ἐφθέγξατο. τοῦτο γὰρ ἐν τῷ ἑκατοστῷ, καὶ τριακοστῷ ἕκτῳ δηλοῦται ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱ-

ani.

λαρῶς αἱ ψυχαὶ τῷ Θεῷ, ὁπόσαι δὴ περιληφθεῖσαι, καὶ κρατηθεῖσαι περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανὸν, ὅτι μὴ κατεσπάσθησαν ὑπὸ τῶν ὑλικῶν, καὶ σωματικῶν ῥευμάτων. Ἐντεῦθεν γὰρ καὶ τὸν Φαραὼ φασὶ τύπον ἀπενέγκασθαι κατὰ τὴν Αἴγυπτον τοῦ Διαβόλου. ἐπειδὴ τὰ μὲν ἄρρενα ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι, τὰ δὲ θήλεα ζωογονεῖσθαι. καὶ γὰρ καὶ ὁ Διάβολος βασιλεύων ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως τῆς μεγάλης Αἰγύπτου τοῦ κόσμου, τὰ μὲν ἄρρενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναιρεῖσθαι παθῶν σπουδὴν εἶχε, τὰ δὲ σαρκικὰ καὶ αἰσθητὰ αὐξάνεσθαί τε, καὶ πληθύνεσθαι γλίχεται. Ἀλλὰ γὰρ, ἵνα μὴ πα-

animæ, quæ apprehenſæ detentæque nunc cum Chriſto cœlum circumeunt, quod a materiatis & corporeis fluctibus abreptæ non ſunt, laudem Deo tranſmittunt. Hinc & Pharaonem aſſerunt, figuram apud Aegyptum præſetuliſſe Diaboli, cum maſcula crudeliter, & nulla ratione adhibita in flumen proÿci, fœminas uiuas conſeruari enutririque præciperet. Nanque Diabolus ab Adami ætate ad Moyſem ipſum magnæ Aegypti, mundi nempe, habenas pertractans, maſculos & intellectuales animi fœtus a fluxis affectionibus diſtrahi, & interimi ſtudioſius accurabat: carneos vero, & ſenſibiles adaugeri & multiplicari peroptabat.

Sed ne extra propoſitum diuagemur, age iam

Pſalmum ipſum præ manibus acceptum interpretemur, quem puræ illæſæque animæ Deo concinunt, dicentes; Super flumina Babylonis ibi ſedimus, & fleuimus, cum recordaremur Sion. In ſalicibus in medio eius ibi ſuſpendimus organa noſtra. *Organa clare appellantes propria tentoria, quæ illæ ipſæ rudentibus caſtimoniæ ligno adnectentes ſuſpenderunt, ne raptæ iterum intemperantiæ fluctibus in tranſuerſum trahantur. Babylon ſiquidem turba & confuſio expoſita, vitam hanc aquis circumfluam denotet, cuius nos in medio aſſidentes, donec in mundo commoramur, fluminibus malitiæ continuo impeten-*

ρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν Ψαλμὸν ἐξηγησώμεθα, ἐν χερσὶ λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι τῷ Θεῷ, Ἐπὶ τῶν ποταμῶν, λέγουσαι, Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, ἐκεῖ ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. ὄργανα καλοῦσαι τὰ σκηνώματα σαφῶς ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν πεισμάτων τῆς ἁγνείας ἐξαψάμεναι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας. Βαβυλὼν γὰρ τάραχος, ἡ σύγχυσις ἑρμηνευομένη τὸν περίρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα, καθ' ὃν

tibus

a Pſalm. 136. 1

ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων ἀεὶ, διὸ καὶ περιδεεῖς ἐσμὲν, καὶ κατολοφυρόμεθα, καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν Θεόν. ἵνα μὴ καταλισθήσωσιν ἡμῶν ἀπορραγέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς ἁγνείας τὰ σώματα. Τύπον δὲ τῆς παρθενίας τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ θεῖαι Γραφαὶ, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ τριβὲν, ἐὰν ποθῇ, εἰς ἀποστείρωσιν παραλαμβάνεσθαι εἴωθεν. τὰς γὰρ ἐπαναστάσεις τῆς σαρκὸς, καὶ τοὺς ἐρεθισμοὺς καταςβέννυσιν, ἔστ᾽ ἂν εἰς ἄρδην ἀποστειρώσῃ, καὶ ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ τῇ παιδοποιΐᾳ σποράν. ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας.

tibus circumuoluimur. Propterea que & timore torpemus, & noſtram ſortem deploramus, & clamamus cum eiulatu ad Dominum; ne corpora noſtra voluptatis fluctibus a caſtimoniæ ligno diſtracta lapſu corruant. Pro Virginitatis autem typo ſalicem locis in omnibus diuinæ Scripturæ aſſumunt, cum flos illius in aqua contuſus potuſque ad ſterilitatem conciliandam accipi aſſolet: carnis enim inſultus, atque incitamenta extinguit, quouſq; penitus ſterile, & infœcundum ſemen ad generandum effecerit, quemadmodum [a] *Homerus indicauit, hanc ob cauſam ſalices vocans fructiperdas. & apud Iſaiam, Iuſti,* quaſi ſalices, *dicuntur,* iux-

a Odyſſ. κ 510. b Iſa. 44. 4.

iuxta præterfluentem aquam. *tum quippe Virginitatis ſtipes in altum ſuſtollitur vehementer atq; accreſcit, cū opipere iuſtus, & qui eam aggreſſus eſt ſeruare & exercere, mitiſſimis Chriſti fluxibus irrigat, ſapientia irrorans. Quemadmodum enim arbor ſimilis elicere herbeſcentem viriditatem &, fructus producere in aquis nata eſt, ita floreſcere continuo, & viribus vigere ſummum, & ſermonibus craſſeſcere Virginitas aſſolet; vt & organum in ea appendere quis ſuum poſſit. Nam ſi flumina Babylonis, vt ſapientes tradunt, fluxus ſunt voluptatis, confundentes & perturbantes animum, neceſſe eſt, ſalices eſſe caſtimoniam, in qua appen-*

καὶ ἐν Ἡσαΐᾳ δὲ οἱ δίκαιοι, ὡς ἰτέαι λέγονται φύειν ἐπὶ παραρρέον ὕδωρ. εἰς ὕψος τότε γὰρ τὸ τῆς παρθενίας ἔρνος μεγεθύνεται σφοδρῶς τε, καὶ λαμπρῶς, ὁπόταν ὁ δίκαιος καὶ ἐγχειρισμένος τηρεῖν αὐτὴν, καὶ ἐργάζεσθαι, τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων. Ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι, καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκε Παρθενία. ἵνα δὴ καὶ ἀνακρεμάσαι τὸ ὄργανον ἐπ' αὐτῆς ἑαυτοῦ δυνηθῇ τις. Εἰ γὰρ οἱ ποταμοὶ τῆς Βαβυλῶνος, τὰ ῥεύματα τῆς ἡδυπαθείας εἰσὶν, ὡς οἱ σοφοί φασι, τὰ συγχύνοντα, καὶ ταράσσοντα τὴν ψυχὴν, ἀνάγκη τὰς ἰτέας εἶναι τὴν σωφροσύνην, ἀφ' ἧς ἀνακρεμῶντες αὐ-

den-

ἕλκομεν τὰ ὄργανα τὰ παιδογόνα ταλαντευόμενα κάτω, καὶ βρίθοντα τὸν νοῦν, ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας, σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχρίμπτωνται, καὶ τὰς σηπεδόνας. Χρησιμωτάτην γὰρ καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ Θεὸς ἐδωρήσατο, σύμμαχον ἀποστείλας τοῖς ὀριγνωμένοις, καὶ ποθοῦσι, καθὼς ὁ Ψαλμῳδὸς ὑφηγεῖται, τῇ Σιών, ὃ δή ἐστι τὴν ἔκλαμπρον ἀγάπην, καὶ τὴν περὶ αὐτῆς ἐντολήν. ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκοπιᾶς ἑρμηνεύεται. ὧδε γὰρ ἀναλογισώμεθα πάλιν καὶ τὰ ἑξῆς. Τί δήποτε ἐπηρωτῆσθαι πρὸς τῶν αἰχμαλωτιστῶν ὁμολογοῦσιν αἱ ψυχαὶ τὴν ᾠδὴν ἐπὶ γῆς

dentes, ſupra attrahimus organa genitalia, quæ infra ponderantur, & mentem degrauant, ne delata in intemperantiæ canales vermium inſtar ſaniebus, & tabibus adhæreſcant. Hanc enim Virginitatem auxiliatricem, perquam proficuam ad comparandam incorruptibililatem Deus elargitus eſt, ſocialem mittens ÿs, qui concupiſcunt, & exoptant, vt Pſalmodus exponit, Sion, *prælucidam nempe charitatem, & de ea præceptum. Quandoquidem Sion* præceptũ ſpeculæ *ſignificat. Sed quæ ſequuntur rurſus computemus: Qua de cauſa fatentur ſeſe poſtulatas fuiſſe animæ ab ÿs, qui captiuas eas duxerunt,* Canticum in terra aliena canta-

a Pſalm. 136. 2.

re Domino? *An quod*
Euangelium ſacrum
canticum eſſe dictis ſi-
milibus edocent, quod
peccatores & adulteri
improbo hoſti concinunt.
Egrediuntur enim ex
præceptis Domini, vo-
luntatem improbe ma-
litiæ perpetrantes, &
proyciunt ſancta cani-
bus, & margaritas an-
te porcos, ſicuti & illi,
de quibus Propheta gra-
uiter ferens, ait, [a] &
legerunt extra legem.
Non enim quod extra
portas Ieruſalem, aut
domo exeuntes legem
Iudæi legerant, propte-
rea eos acriter incuſat
Propheta, & reos cri-
minis factos fuiſſe, cla-
mat; Sed quod præce-
pta prætergredientes,
& impie ſe gerentes er-
ga Deum, ſubdole le-
gebant quidem vt pij

ἀλλοτρίας ᾆσαι τοῦ Κυ-
ρίου. ἢ πάντως ὅτι τὸ
Εὐαγγέλιον ἱερὰν ᾠδὴν
εἶναι ἀπὸ τούτων διδάσκου-
σιν, ἣν οἱ ἁμαρτάνοντες
καὶ μοιχώμενοι τῷ πονηρῷ
προσᾴδουσιν. ἐξέρχονται
γὰρ τῶν ἐντολῶν τοῦ Κυρίου,
τὸ θέλημα τῶν πνευμάτων
κακῶς ἐπιτελοῦντες τῆς
πονηρίας. καὶ ῥίπτουσι τὰ
ἅγια τοῖς κυσὶ, καὶ τοὺς
μαργαρίτας ἔμπροσθεν τῶν
χοίρων. ὃν τρόπον κἀκεῖ-
νοι, περὶ ὧν ὁ προφήτης
δυσχεραίνων φησὶ. καὶ ἀν-
έγνωσαν ἔξω νόμον. οὐ γὰρ
ὅτι τῶν πυλῶν ἔξω τῆς Ἱε-
ρουσαλὴμ, ἢ τῶν οἰκιῶν
ἀνεγίνωσκον ἐξιόντες οἱ
Ἰουδαῖοι τὸν νόμον, διὰ
τοῦτο δὴ καὶ ὁ Προφήτης
ἰσχυρῶς αὐτῶν κατηγορεῖ,
καὶ ὑπευθύνους ἐγκλήμα-
τι βοᾷ γεγονέναι, ἀλλ' ὅτι
παρερχόμενοι τὰς ἐντο-
λὰς, καὶ ἀσεβοῦντες εἰς
τὸν Θεὸν, ἐπιμεμορφα-

præ-

a *Amos* 4.5.

σωματικῶς μὲν ἀνεγίνωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα, κατὰ ψυχὴν δὲ οὐκ ἐδέχοντο μετὰ πίστεως ἴσχοντες, ἀλλ᾽ ἀπέπτυον ἔργοις ἀρνούμενοι. Ἐντεῦθεν γὰρ τὴν ᾠδὴν ἐπὶ γῆς ἀλλοτρίας ᾄδουσι Κυρίου, ταπεινότερον περιέλκοντες, καὶ ἐξηγούμενοι τὸν νόμον, βασιλείαν αἰσθητὴν προσδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς ἀλλοτρίας, ἣν παρελεύσεσθαι λόγος, τιθέμενοι τὰς ἐλπίδας. ἔνθα οἱ αἰχμαλωτίζοντες δελεάζουσιν ἡδοναῖς λοχῶντες πρὸς ἀπάτην. Ἐοίκασι δὲ καὶ οἱ προσᾄδοντες τὸ Εὐαγγέλιον ἄφροσιν ἐπὶ γῆς ἀλλοτρίας μελῳδεῖν τὴν ᾠδὴν Κυρίου, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός, ἀλλ᾽ αἱ τὸ καθαρώτατον, καὶ φαιδρὸν, καὶ ἀμιγὲς, καὶ εὐπρεπὲς τῆς Παρθενίας ὑποδῦσαι, καὶ ἀναλάμψα-

præcepta, animo vero auerſabantur, cum fide non retinentes, ſed ea expuentes, operibus abnegabant. Hinc ad humiliora trahentes, & perperam legem interpretantes, canticum Domini concinunt in terra aliena, Regnum ſenſile expectantes, & in terram hanc alienã, quam præterituram confitemur, ſpes ſuas figentes, vbi qui captiuos abducunt, voluptatum illecebris clam ineſcant & fraudulenter capiunt: Et qui concinunt Euangelium non diſſimiles ſunt ſtultis concinentes canticum Domini in terra aliena, cuius non eſt Chriſtus agricola; veruntamen quæ puriſſima, ſplendida, & immixta venuſtate Virginitatis, ac pulchritudine circum-

amictæ ſunt, eaque relucent, necnon ſteriles, & fluxarum, & triſtiũ affectionum infœcundæ reperiuntur, in terra aliena canticum non canunt, quod illinc ſpes ſuas non collocant, neque mortalium corporum luxibus liqueſcunt, neq; deiecte præceptorũ mẽtem perſcrutantur, ſed probe & generoſe, & magnis cogitationibus promiſſiones ſibi factas inueſtigantes illiſq; elatæ cœleſtem & naturalem ſibi locum anhelant, & ſitiunt. Hinc earũ caſtimoniã admiratus etiam iureiurando ſolis eximios honores communicaturum ſe pollicetur, in principio lætitiæ, præponens & dicẽs, [a] Si oblitus fuero tui Hieruſalem, obliuioni detur dextera mea. Adhæreat lin-

σαι κάλλος. καὶ στεῖραι, καὶ ἄγονοι τῶν ῥευστῶν, καὶ ἀλγεινῶν εὑρεθεῖσαι παθῶν ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδὴν, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε, μηδὲ προστετήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν τῶν ἐντολῶν, ἀλλ' εὖ, καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ, τὰς ἐπαγγελίας, ἄνω περιοδεύουσι τὸν οὐράνιον διψῶσαι, καὶ σύμφυτον τόπον. Ὅθεν ἀγάμενος αὐτῶν τὴν σωφροσύνην μεθ' ὅρκου μόνας ἐξαιρέτους ἐπαγγέλλεται διδόναι τιμὰς, ἐν ἀρχῇ τῆς εὐφροσύνης προανατάσσων καὶ λέγων, Εἰ ἐπιλαθῶ σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου, κολληθείη ἡ γλῶσσα μου τῷ

a *Pſalm.* 136. 5.

λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Ἱερουσαλὴμ τὰς ἀμιάντους, αὐτὰς δὴ ταύτας, ὡς ἔφην, καὶ ἀπήμονας ψυχὰς εἶναι λέγων, αἵτινες ἄζυγον τὸ τῆς παρθενίας αὐστηρῶς ἀμολύντοις χείλεσι ἀπασάμεναι πόμα, ἑνὶ ἀνδρὶ παρθένῳ ἁγνῇ καθαρμόζονται παραστῆναι Χριστῷ κατ' οὐρανὸν, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι. Ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ προφήτης παρεγγυᾷ, φωτίζου, φωτίζου λέγων Ἱερουσαλήμ. ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. Ταῦτα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανάστασιν τελεσιουργηθήσεσθαι δῆλον καὶ παντί. οὐ

lingua mea faucibus meis, ſi non meminero tui, ſi non præpoſuero Hieruſalem, vt in principio lætitiæ meæ. *Hieruſalem has ipſas, vt dixi, immaculatas, & inoffenſas animas nuncupat quæ ſine fæce Virginitatis potum auſtere impollutis manibus ſugentes, vni viro, virgini caſtæ præparantur aſſiſtere Chriſto in cælo, poſtquam incorruptorum præmiorum certamen deuicerint: Ideoque Iſaias Propheta mandat,* [a] Illuminare, illuminare, *dicens*, Hieruſalem, quia venit lumen tuum, & gloria Domini ſuper te orta eſt. *Hæ autem promiſſiones poſt reſurrectionem ad exitum eſſe perducendas, vnicuique manifeſtum eſt: non enim*

a *Iſai.* 60. 1.

enim de nominatiſſimo Iudææ oppidulo Spiritus ſanctus vaticinatur, ſed de ciuitate cœleſti illa veriſſime beata Hieruſalem, quam tradunt eſſe animarum cœtum, quas præponere alijs in principio lætitiæ nouorum ſeculorũ certiſſime Deus promittit, intromittens in puram habitationem non occidentium luminum, candidiſſimo Virginitatis ornatu decoratas; quod non recordatæ ſunt, ornamentum nuptiale induere, hoc eſt cogitationẽ imaginationibus abſurdis emollire. Deniq;[a] non obliuiſci ſponſam ornamenti, neque Virginẽ faſciæ pectoralis ſuæ, *quod apud Ieremiam legitur, non cedere, & relaxare vinculum*

γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ Ἰουδαίαν πολίχνης τὸ Πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανοπόλεως ὡς ἀληθῶς ἐκείνης καὶ μακαρίας Ἱερουσαλήμ. ἣν δή φασιν αὐτὴν εἶναι τὸ ἄθροισμα τῶν ψυχῶν, αἷς προανατάξασθαι πρώτας ἐν ἀρχῇ τῆς εὐφροσύνης τῶν καινῶν αἰώνων ἀνεπισφαλῶς ὁ Θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ τῆς παρθενίας ἐστολισμένας κόσμῳ καθοικίζων. ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον ἀποδύσασθαι τὸν νυμφικὸν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις. ἀμέλει τὸ, μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρθένον τὴν στηθοδεσμίδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι, καὶ χαλάσαι τὴν

caſti-

a Ierem. 2. 32.

δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περισπασμοῖς. Στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ, καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται, ἡ δὲ στηθοδεσμὶς αὐτῶν ζώνη, καὶ συσφίγγουσα τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν ἐστὶν, ἡ πρὸς Χριστὸν ἀγάπη, ἣν ἐμοί τε, καὶ ἡμῖν ὁ στρατηλατῶν, καὶ ποιμὴν Ἰησοῦς, καὶ ἄρχων, καὶ νυμφίος, ὦ καλλιπάρθενοι, ἄρρηκτόν τε, καὶ ἐσφραγισμένην μέχρι τέλους τηρῆσαι παράσχοι. τούτου γὰρ τοῦ κτήματος τοῖς ἀνθρώποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λάβοι ἀρέσκον Θεῷ καὶ προσφιλές. Διὸ ἐγὼ χρῆναι φημὶ τὴν ἁγνείαν ἅπαντας τιμᾶν, καὶ διαφερόντως ἀσκεῖν τε, καὶ ἐγκωμιάζειν. Αὗται σοι καὶ παρ' ἡμῶν αἱ ἀπαρχαὶ τῶν λό-

caſtimoniæ fraudibus innuit & diuulſionibus. Pectora ſiquidem præcordia ſunt non incongrue, & mens noſtra eſſe exiſtimatur, & faſcia pectoralis, conſtringens animi propoſitum ad caſtimoniam amor erga Chriſtum, quam mihi & vobis ſtrategeta, & paſtor, & princeps, & ſponſus, o pulchræ Virgines, infragilem, & ſignatam ad finem uſq; conſeruare concedat. Nanque hac poſſeſſione magis proficuum hominibus auxilium non facile aliud acceperit quiſpiam, quod Deo complacitum ſit, & amicum. Quapropter ipſa dixerim, ab omnibus honorandam, & præ cæteris alijs exercendam, & laudandam eſſe caſtimoniam. Et hæc quidem a nobis ſer-

monum

monum primitiæ tibi, cum eruditionis, tum exercitationis gratia depoſitæ ſint, o Virtus. Sed accipio donum, dixit, reſpondiſſe Virtutem, iubeoque, vt poſt te Thalluſa ſermonem continuet. A ſingulis enim vobis Orationem accipere me, neceſſum eſt. Tum Thalluſam, cum paululum ſe continuiſſet, & intra ſe neſcio quid reuoluiſſet, ita Orationem exorſam, narrauit.

γων ἀνακείσθωσαν, ὦ Ἀρετὴ, τὰ μὲν παιδείας, τὰ δὲ σπουδῆς χάριν. Ἀλλὰ δέχομαι τὸ δῶρον, ἔφη, φάναι τὴν Ἀρετὴν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλλουσαν λέγειν. δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον. τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν, καὶ πρὸς ἑαυτὴν τι σκεψαμένην εἰπεῖν, ἔφη.

THALLVSA

ΘΑΛΛΟΥΣΑ.

SEd, ò Virtus, precor te, adiutrix in mentem veneris; vt, & tui, & præſentium digna dicere videamur. Maximum enim atque excellentiſſimum votum & munus, cui equidem par aliud non poteſt Deo genus huma-

Ἀλλ', ὦ Ἀρετὴ, συλλήπτειραν ἀξιῶ παραστῆναί σε κατὰ νοῦν. ὅπως πρέποντα μὲν σου, καὶ τῶν παρόντων δὲ φανῶμεν ἄξια λέγειν. Τὸ γὰρ μέγιστον, καὶ ἐπιφανέστατον ἀνάθημα, καὶ δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πα-

ρεστιν ἀνθρώποις Θεῷ, τὸν ἆθλον τῆς παρθενίας εἶναι πέπεισμαι διαρκῶς ἀπὸ τῶν ἱερῶν ἠθημένη γραμμάτων. Οὐ γὰρ αὖ πολλὰ πολλῶν κατ᾽ εὐχὰς ἐν τῷ Νόμῳ καλὰ κατεργασαμένων, μόνοι μεγάλην εὐχὴν ἐλέγοντο πληροῦν, οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ βουλῇ προσενέγκαντες Θεῷ. ἔχει γὰρ τὸ ῥητὸν οὕτως. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων. Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς. ἀνήρ, ἢ γυνή, ὃς μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν Κυρίῳ. Εὔχεται χρυσᾶ, καὶ ἀργυρᾶ εἰς τὸν νεὼν σκεύη προσκομίζας ἀναθεῖναι τις. ἕτερος ἀναθεῖναι τὴν δεκάτην τῶν καρπῶν, ἄλλος τῆς οὐσίας, ἕτερος τὰ κράτιστα τῶν ποιμνίων, ἄλλος τὴν ὕπαρξιν

num offerre, certamen virginitatis eſſe, diuinis literis edocta abunde perſuadeor. Nam, licet pleraque plurimi inter orandum in lege perſecerint, ſoli magnas preces complere dicebantur, qui ſponte ſua ſeſe Deo obtulerunt. & eloquium eſt. [a] Et locutus eſt Dominus ad Moyſen, dicens; Loquere filijs Iſraël, & dices eis. Vir, ſiue mulier, qui vehementer precabitur precationem, conſecrare ſanctimoniam Domino. *Precatur, qui aurea vel argentea vaſa adducens in templum, Deo conſecrat, alius fructuum decimas, alius opes, alius pecudum præcellentiſſimas, alius bona, quæ poſſidet: & tamen magnam preca-*

tio-

a Num. 6. 1.

tionem precari non dicuntur Domino, ſed ille tantum qui ſemetipſum omni ex parte Deo obtulit. Sed enim aggrediendum eſt, quæ propoſiti ſententia ſit apud Scripturam, ſermone vero in medium proferre. Qui enim partim retinet ſe, & operatur attẽte, partim diſtractus, flagitÿs ſeſe ingurgitat, is Deo non complacet: neceſſe enim eſt perfectum vitæ ſuæ vniuerſæ curſum in omni ætate pro nutu Domini dirigere. Propterea que Abrahamo Deus ſuadet, [a] Sume mihi, *dicens*, iuuencam triennem, & capram trimam, & arietem annorum trium, turturem quoque & columbam. *Quod eſt optime dictum. Videtur enim hiſce illud quoque*

καθιεροῖ. καὶ οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι λέγεται τῷ Κυρίῳ, ἀλλ' ἐκεῖνος ὁ ἑαυτὸν ἀναθεὶς ὁλοτελῶς. ἐπιχειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς ὑμᾶς, ὦ Παρθένοι, τὴν κατὰ τὸ προκείμενον διάνοιαν δηλῶσαι τῆς Γραφῆς. Ὁ γὰρ κατά τι μόριον φυλασσόμενος, καὶ προσέχων, κατά τι δὲ περισπώμενος, καὶ πλημμελῶν, οὐκ εὐαρεστεῖ τῷ Θεῷ. χρὴ γὰρ τὸν τέλειον πάντα ἐπὶ πάσης ἡλικίας τὸν βίον ἀπευθύνειν πρὸς τὸ θέλημα τοῦ Κυρίου. Ταύτῃ γὰρ δὴ καὶ τῷ Ἀβραὰμ ὁ Θεὸς ὑφηγεῖται. Λάβε μοι, λέγων, δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, τρυγόνα, καὶ περιστεράν. ὅ ἐστιν εὐφήμως, ἐπίστησον γὰρ ὅτι περὶ τούτων κἀκεῖνος πα-

que

a *Geneſ.* 15. 9.

ρεγγυᾷ προσενέγκαι μοι, καὶ φύλαξον ἄζυγα, καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ τὴν σάρκα καὶ τὸν λογισμὸν· τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα, καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ ὡς κριὸν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐκπέσῃ, καὶ ἐξολισθήσῃ τῆς ἀληθείας. οὕτω γὰρ ἐντελὴς ἔσῃ, καὶ ἀνεπίληπτος, ὦ Ἀβραὰμ, ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν, καὶ τὴν αἴσθησιν, καὶ τὸν νοῦν, ἃ συμβολικῶς δάμαλιν ἔφη, καὶ αἶγα, καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν γνῶσιν ἀκατέμφατον τῆς Τριάδος ἐπανῃρημένα. Τάχα δὲ καὶ τὴν πρώτην, καὶ τὴν μέσην, καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον. βουλόμενος, ὡς ἔνι μάλιστα, καὶ τὸν τῶν

que adhortari. Affer mihi, & conſerua innuptam & illæſam animam tuam inſtar iuuencæ, & carnem, & mentem; carnem veluti capram, quæ excelſa atque dirupta circumit: mentem veluti arietem; ne aliquando ſubſiliens decidat, & a veritate dilabatur. Hac quippe ratione perfectus eris, & inculpatus, o Abraham, conſecrans mihi, & animam, & ſenſum, & mentem, quæ ſymbolice iuuencã vocauit, & capram, & arietem triennem, tanquam quæ cognitionem Triadis rectam præſeferant. Fortaſſe etiam primam, mediam, & poſtremam vitæ noſtræ ſemitas, & ætates innuit, volens, vt quantum poſſumus, & vires concedunt, &

pue-

puerorum, & virorum, ſenum quoque tempus, caſte vita traducta, ipſi offeramus: nec alia ratione Chriſtus Dominus noſter in Euangeliis præcepit, hunc in modum decernens; [a] Lucernæ veſtræ ne extinguantur, & lumbi veſtri ne ſoluantur. Propterea & vos ſimiles ſitis hominibus, expectantibus Dominum ſuum, quando reuertetur a nuptijs, vt, cum venerit & pulſauerit, confeſtim illi aperiant. Beati eritis cum faciet diſcumbere vos, & tranſiens miniſtrabit. & ſi ſecunda & tertia, beati eſtis. *Attente conſiderate. Cum ille tres noctis cuſtodias ſuppoſuerit, Veſpertinam, Secundam, & Tertiam,*

ἀνδρῶν, καὶ τὸν τῶν γηραιοτέρων χρόνον σωφρόνως βιώσαντας αὐτοὺς προσενέγκασθαι, καθ' ὃν τρόπον, καὶ ὁ Κύριος ὑμῶν ἐν Εὐαγγελίοις παρακελεύεται Χριστὸς, ὧδε νομοθετῶν. Οἱ λύχνοι ὑμῶν μὴ σβεννύσθωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ λυέσθωσαν. Διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν Κύριον αὐτῶν, πότε ἀναλύσῃ ἐκ τῶν γάμων. ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. Μακάριοι ἐστὲ, ὅτι ἀνακλινεῖ ὑμᾶς, καὶ παρελθὼν διακονήσει. καὶ τῇ δευτέρᾳ, καὶ τῇ τρίτῃ μακάριοι ἐστέ. Ἐπισκέψασθε γὰρ, ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτὸς, ἑσπερινὴν, καὶ δευτέραν, καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ πα-

& tres ſuos aduentus, o Virgines, tres ætatum immu-

[a] Luc. 12. 35.

ρκσίας, ὦ Παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλικίας ἢ ἐξάγω μεταβολὰς τῆς μειρακιώδη, καὶ τὴν πρεσβῶν, καὶ τὴν πρεσβυτέραν. ἵνα κἂν τὴν πρώτην ἄγοντες ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος τοῦ κόσμου, ἑτοίμους παραλάβῃ, καὶ καθαρούς, μηδὲν ἐπιτετηδευκότας σκαιὸν, κἂν τὴν δευτέραν ὁμοίως, κἂν τὴν τρίτην. Ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ αἰθέρος, καὶ ἡ νεότης, καθ' ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικὸν, ἐπιθολούμενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ ἐκτρεπομένης εἰς πάθη. Δευτέρα δὲ ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον λάσας, ἄρχεται στάσιν, καὶ βεβαιότητα τῶν θορύβων, καὶ τῆς εἰήσεως ὁ νοῦς προσλαμβάνει.

immutationes, puerorum, pubeſcentium, & ſeniorum indicauit, vt, qui prima ætate homines geſtiunt, pueri nempe, ſi ipſe aduenerit mũdum ſuſcepturus, eos paratos, & puros, nulloque commiſſo ſcelere impiatos inueniat. Similiter & ſecundam, & tertiam. Veſpertina nanq; cuſtodia tempus eſt vigoris humani, & iuuenta ipſa, in qua pars animæ potiſſima conturbari incipit, & vitæ mutationibus inquinari, dum caro pubeſcens, in affectiones declinat. Secunda, cum virum perfectum ætate progrediente induit homo, & ſtatum, turbarumq; ſtabilitatem ac cogitationum mens reſectis opinationibus poſſidet. Tertia cum ima-

ginationum pars potior, ac deſideriorum, flaceſcente iam carne, & in ſenectam progrediente contabeſcit. Quapropter addecebat inextinctam in corde fidei lucernam accendentes, & lumbos præcingentes caſtimoniæ, vigiles eſſe, expectareque indeſinenter Dominum, vt ſi aliquos ex nobis accipere voluerit, ſiue prima ætate, ſiue ſecunda ſiue tertia veniens, paratiſſimoſque reperiens, &, quæ ipſe præcepit, operantes, accumbere faciat in ſinubus Abraami, Iſaaci, & Iacobi. Et Ieremias, [a] Bonum eſt viro, *ait*, cum portauerit iugum graue in adoleſcentia ſua, [b] Et a Domino non receſſerit cor eius. *Bonum ſiquidem eſt eum,* *qui*

Τρίτη δὲ, ὅτε αἱ πλεῖσται φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς, καὶ εἰς γῆρας προκοπτούσης. Διὸ προσῆκεν ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν ὀσφὺν ἀναζωσαμένους τῆς σωφροσύνης ἐγρηγορέναι, καὶ προσδοκᾶν ἀεὶ τὸν Κύριον. ἵνα κἂν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινὰς βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ ἐλθὼν, καὶ εὑρὼν ἑτοιμοτάτους, καὶ ἃ προσέταξεν ἐργαζομένους ἀνακλινεῖ εἰς Ἀβραὰμ κόλπους, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. καὶ Ἱερεμίας δὲ, ἀγαθὸν, φησιν, ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν βαρὺν ἐν νεότητι αὐτοῦ, καὶ, ἀπὸ Κυρίου οὐ μὴ ἀποστῇ ἡ ψυχὴ

a Thren. 3. 27. b Ierem. 17. 5.

αὐτοῦ. Ἀγαθὸν γὰρ τὸν ἐκ παίδων ὡς ἀληθῶς ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσευχῇ, μὴ ἀποσείσασθαι μέχρι γήρως τὸν ἐπιβάτην, καθαραῖς φρεσὶν ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὰ χείρω καθέλκοντος τοῦ πονηροῦ. Τίς γὰρ οὐ τὰς δι' ὀμμάτων, οὐ τὰς δι' ὤτων, τίς δ' οὐ τὰς διὰ γεύσεως, ὀσφρήσεώς τε καὶ ἁφῆς ἡδονὰς, καὶ τέρψεις ἀποδέχεται τὸν ἡνίοχον μὴ φέρων, σωφροσύνην εἴργουσαν, καὶ καθαιμάττουσαν τὸν ἵππον τῆς κακίας. Ἕτερος μὲν οὖν εἰς τοῦτο ἐπιβλέψας ἄλλα δικάζει. ἡμεῖς δὲ ἀναθεῖναι λέγομεν τελείως ἑαυτὸν Θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, παρθενίαν ἀσκῶν. περισπουδάστοις γὰρ καὶ μεγάλας

qui a puero vere ſuppoſuit ceruicem orationi diuinæ, non reÿcere donec ſenecta occupauerit, aſſeſſorem mentem puris cogitationibus inequitantem, licet ſemper ad peiora improbus eam Dæmon detrahat. Quis enim quæ per oculos, quæ per aures, quis, eas quæ per guſtum, odoratum, & tactum, irrepunt voluptates & delectationes non admittit, ſi aurigam caſtimoniam impedientem, & cruentantem malitiæ equum non geſtauerit. Alius itaq; mentis aciem ad hoc dirigens alia iudicauerit. nos perfecte Deo ſemetipſum ſacraſſe dicimus eum, qui a pueris carnem immaculatam, Virginitatem exercens, conſeruare incumbit, expetenda enim, & ingentia bonæ ſpei munera illis,

 qui

qui eam affectant, quam ociſſime confert, cum noxias animæ affectiones, & ſuſcitabula comprimat & extinguat. Sed iam exponendũ eſt, qua ratione Deo dicamur. [a] *Nã* vehementer precari precationem, *quod in Numeris præcipitur, hoc aſſeuerat, quod ego fuſius explicans, oſtendam magnam precationem eſſe præ omnibus alijs precationibus caſtimoniam. Tum enim Deo tota aperte conſecror, cum non tantum carnem congreſſus intactam, ſed & ab alijs quoque criminibus immunem ſeruare contendo.* [b] Nam mulier celebs, *ait,* curat ea, quæ ſunt Domini, quomodo placitura ſit Domino.

ἐλπίδων δωρεὰς τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπομαραίνουσα πάθη, καὶ ὑπεκκαύματα: Φέρε γὰρ εἰσηγητέον, πῶς ἀνακείμεθα τῷ Κυρίῳ. Τὸ γοῦν μεγάλως εὔξασθαι εὐχὴν ἐν τοῖς Ἀριθμοῖς νομοθετουμένην, τοῦτο παρίστησιν, ὅπερ ἐπὶ πλεῖον ἐγὼ διηγησαμένη, ἀποφανῶ μεγάλην εὐχὴν εἶναι παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα τὴν ἁγνείαν. Τότε γὰρ ἀνάκειμαι περιφανῶς πάντα τῷ Κυρίῳ, ὁπότε μὴ μόνον τὴν σάρκα συνουσίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν ἀπρεπημάτων ἄσπιλον τηρεῖν ἀγωνίζομαι. Ἡ γὰρ ἄγαμος, φησί, μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσῃ τῷ Κυρίῳ, οὐ μόνον ἵνα μὴ χωλεύῃ τῆς ἀρετῆς κατά τι μέρος.

Non ſolum, ne virtu-

tis,

a *Num.* 6. 1. b 1. *Corinth.* 7. 34.

ἀπενήνεκται τὴν δόξαν, ἀλλ' ἄμφω κατὰ τὸν Ἀπόστολον, καὶ ἐν τῷ πνεύματι, καὶ ἐν τῷ σώματι ἁγιάζεται, ἀναθεῖσα τὰ μέλη Κυρίῳ. Τί γάρ ἐστι τὸ ἀναθεῖναι τελείως ἑαυτὸν Κυρίῳ, λεκτέον. Ἐὰν ἐπὶ τῶνδε μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε δὲ κατακλείσω. οἷον ἀνοίξω μὲν περὶ τὰς ἐξηγήσεις τῶν Γραφῶν, εἰς τὸ ὀρθοδόξως ὑμνῆσαι, μεγαλοπρεπῶς κατὰ δύναμιν τὸν Θεόν. κατακλείσω δὲ θύραν αὐτῷ θεμένη καὶ φυλακὴν, μάταια μὴ λαλεῖν, ἁγνεύει μου τὸ στόμα, καὶ ἀνάκειται τῷ Κυρίῳ. ἡ γλῶσσα μου κάλαμος γέγονεν ὄργανον σοφίας. Γράφει γὰρ δι' αὐτῆς ἀειδήλοις γράμμασιν ἀπὸ τοῦ βάθους, καὶ τῆς δεινότητος τῶν Γραφῶν, φωτίζων τὸν νόμον τοῦ Πνεύματος ὁ Λόγος,

tis gloriam aliqua ſui parte claudicantem referat; ſed in vtriſq; ſecundũ Apoſtolum cum ſpiritu tum corpore, *dicans membra Domino, ſanctificetur. Quid porro ſit ſemetipſum Deo perfecte dicare, dicendum. Si in quibuſdã aperiam os in alijs obſtruam. Aperiam in exponendis ſcripturis, ad recte & munifice pro viribus laudandum Deum: obſtruam vero portam illi, & cuſtodiam apponam, ne loquatur inania, caſtum eſt os meum, & Domino conſecratum,* [a] lingua mea calamus *factus eſt inſtrumentum ſapientiæ: ſcribit enim per ipſam clariſſimis literis, ex profunditate, & vi facultateque ſcripturarum,*

a Pſal. 44. 8 2.

Spiritus legem illuminans Verbum, Dominus, ſcriba ſeculorum, velociter ſcribens, quod ſolus cito ac velociter conſilium Patris exponit, & explet, [a] velociter ſpolia detrahe *audiens*, & cito prædare. *Huiuſce ſcribæ, caſtimoniæ ſcilicet, lingua mea calamus eſt. Ipſi quoq; conſecratur calamus pulcher pulchriora exarans, quam ea ſunt, quæ de humanis decretis Poëtæ, atque Hiſtorici literis conſignant. Si oculos aſſuefecero, corporum pulchritudinem non concupiſcere, neque ſpectaculis indecoris delectari, ſed quæ ſurſum ſunt, circumſpectare, ſeruant caſtimoniam oculi, & Deo dicati ſunt. Si aures obturans, maledictis, atque murmurationibus, eas verbo Dei*

ὁ Κύριος, ὁ γραμματεὺς τῶν αἰώνων ὀξυγράφος, ὅτι ταχέως καὶ ὀξέως βουλὴν ἐξηγεῖται μόνος, καὶ πληροῖ τοῦ πατρός. ὀξέως σκύλευσον, ἀκούων, ταχέως προνόμευσον. Τούτου κάλαμός ἐστιν ἡ γλῶσσά μου τοῦ γραμματέως ἁγνείας. αὐτῷ δὴ καὶ ἀνάκειται κάλαμος ὡραῖος ὡραιότερα γράφων τῶν τὰ ἀνθρώπινα δόγματα κρατυνόντων ποιητῶν, καὶ λογογράφων. Ἐὰν ἐθίσω καὶ τὰς ὄψεις μὴ ἐπιθυμεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχήμοσιν· ἀλλὰ τὰ ἄνω περισκοπεῖν, ἁγνεύουσι καὶ οἱ ὀφθαλμοὶ, καὶ ἀνάκεινται τῷ Κυρίῳ. Ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας, καὶ ψιθυρισμῶν, ἀνα-

a Iſai. 8. 1.

πετάσω λόγῳ Θεοῦ, φοιτῶντα παρὰ σοφοῖς, ἀνατέθεικα, καὶ τὰς ἀκοὰς τῷ Κυρίῳ. Ἐὰν ἀποστήσωμαι τὰς χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως, ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ, ἁγνεύουσι καὶ αἱ χεῖρες τῷ Θεῷ. Ἐὰν ἀφέξω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύεσθαι, ἀνατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια, καὶ θιάσοις περιερχομένη, ὅπου τ' ἄνδρες ἀλιτροδίκαι τελέθουσιν, ἀλλ' εἰς τὸ κατορθῶσαι πληροφοροῦσά τι τῶν ἐντολῶν. Τί μοι λοιπὸν ἐὰν διαγνεύσω καὶ τὴν καρδίαν πάσας τὰς διανοήσεις αὐτῆς ἀναθεῖσα τῷ Κυρίῳ. φλαῦρον οὐδὲν ἐνθυμοῦμαι, κοσμικὸν οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται, καὶ ὀργὴ παρ' ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ Κυρίου, καὶ ἐν νυκτί. καὶ τοῦτό ἐστιν ἁγνείαν ἀγ-

Dei explicuerim, apud viros doctos me conferens conſecraui aures, Domino. Si manus abſtinuero ab arte cauponaria, inſtitoria, negotiatione, auaritia, & percuſſione, caſtæ ſunt manus apud Deum. Si vim progreſſiuam cohibuero, ne diſtortas vias ingrediatur, pedes quoque meos dicaui, non ad tribunalia, & thiaſos procedens, vbi homines ſcelerate iudicia exercent, ſed vt aliquid præceptorum, complens recte perficiã, pedes quoq; meos dicaui. Quid porro mihi reliquum fuerit, ſi caſta corde, omnes illius cogitationes in Deo repono. nihil improbum mente agito, nihil mundanum animo complector, ſuperbiam & iracundiam a me longe

 pello,

pello,[a] & legem Domini die ac nocte meditor. *Et hoc plane eſt caſte pureue caſtimoniam ſeruando, vehementer precationem precari. Conabor enim, & quæ ſequuntur, o Virgines, præceptiones exponere, cum ex veſtris quoque facinoribus pendeant, tanquã quæ ſunt de Virginitate præcepta, & oracula edocentia, a quibus abſtinendum eſt, & virginitatem ipſam ſui inſtitutione ad ſuperiora homines traducere: ſcriptum eſt enim hoc modo.*[b] Et locutus eſt Dominus ad Moyſem dicens, loquere filijs Iſraël, & dices ad eos. Vir aut mulier, quicunque magne vouerit votum, purificandi ſeſe Domino. A vino & ſicera temperabit. Et acetum ex vino, &

νεῦσαι, μεγάλην ἐξάμενον εὐχήν. πειράσομαι γὰρ καὶ τὰ ἑξῆς ὑμῖν τούτων, ὦ Παρθένοι, φράσαι τῶν διατάξεων. ἐπειδήπερ τῆς σφετέρας ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμοὶ περὶ παρθενίας ὄντα, καὶ χρησμοὶ διδάσκοντες, ὧν ἀπέχεσθαι προσήκει. καὶ ἀναγωγὴν εἶναι τὴν παρθενίαν. γέγραπται γὰρ οὕτως. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων, λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἀνὴρ καὶ γυνὴ, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν, ἀφαγνίσασθαι ἐν Κυρίῳ ἀπὸ οἴνου, καὶ σίκερα ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου, καὶ ὄξος ἐκ σίκερα, καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς, οὐ πίεται. καὶ σταφυλὴν πρόσφατον, καὶ σίκερα οὐ φάγεται

a Pſal. 1. 2. b Num. 6.

πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ. Ὅπερ ἐστὶν, ἀπὸ τοῦ φυτοῦ τῆς πονηρίας τῶν γινομένων ὁ κατεσκυήσας ἑαυτὸν τῷ Κυρίῳ, καὶ ἀναθεὶς οὐ δρέψεται, διὰ τὸ παρεκτικὰ ἀεὶ μέθης αὐτὰ καὶ ἐκστάσεως πεφυκέναι. Δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν γραφῶν ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων γεγονέτην, ἀνομοίως τε ἐχέτην. ἡ μὲν γὰρ ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική. ἡ δὲ μανίας αὖ, καὶ παραφροσύνης. ἄμπελος μὲν γὰρ νηφάλιος, καὶ εὐφραντικὴ κλημάτων δίκην ἐκ τῶν μαθημάτων τοὺς βότρυας ἱλαροὺς ἀπαιωροῦσα τῶν χαρισμάτων, καὶ βαστάζοντας ἀγάπην, ὁ Κύριος ἡμῶν ἐστὶν Ἰησοῦς, ὁ λέγων διαῤῥήδην

ex ſicera, & quæcunq; conficiuntur ex vino non bibet, & vuam recentem, & ſicera non comedet omnibus diebus voti ſui. *Ab improbitatis planta naſcentibus, qui ſeſe Domino tradidit, & dedicauit, non decerpet, quod ſemper ea ebrietatem & mentis commotionem ingenerent. Duas ſiquidem vitium differentias ex ſacris literis deprehendimus, quæ ſeparatim enaſcuntur, ſuntque rebus omnibus inter ſe diſiunctiſſimæ; cum altera immortalitatem & iuſtitiam, altera furorem & dementiam ſubminiſtret.* Nam *vitis ſobria & exbilarans ex diſciplinis amorem diſtillantes racemos munerum, palmitum inſtar, hilare germinans, Dominus noſter Ieſus eſt, qui affir-*

matiſ-

matiſſime Apoſtolis dicit.[a] Ego ſum vitis vera, vos palmites: Pater vero meus agricola eſt. *Sylueſtris et mortifera Diabolus eſt, rabiem, venenum, & furorem inſtillans: vti Moyſes conuenienter de eo narrat; Nam* [b] Ex vite Sodomorum, *ait*, vitis eorum, & ſarmentum eorum ex Gomorra, vua eorum vua fellis, racemus eorum amaritudinis, & furor draconum vinum eorum, & furor aſpidum inſanabilis. *Ex ea Sodomorum accolæ dum vindemiant, in infœcundum maſculorum appetitum, veluti œſtro conciti, inſanierunt, & præter naturam euibrati ſunt. Ea hauſta, qui cum Noë erant, capitis graue-*

dine

τοῖς Ἀποστόλοις, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή. ὑμεῖς τὰ κλήματα. ὁ δὲ πατήρ μου ὁ γεωργός. ἀγρεία δὲ καὶ θανατηφόρος ὁ Διάβολος, λύσσαν καὶ ἰὸν καὶ ὀργὴν ἀποστάζων. ὥσπερ δὴ καὶ Μωϋσῆς ὑφηγεῖται, διαγράφων περὶ αὐτοῦ. Ἐκ γὰρ ἀμπέλου Σοδόμων, φησίν, ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν, θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. Ἐκ ταύτης τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες εἰς ἄκαρπον ἀρρένων ὄρεξιν οἰστρηλατήθησαν ταπλῶσαι παρὰ φύσιν. Ἐντεῦθεν οἱ ἐπὶ Νῶε κραιπαλήσαντες εἰς ἀπιστίαν κατώλισθον, καὶ ὑ-

a Ioann. 15. 1. b Deuter. 32. 23

ποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ. Ἐντεῦθεν ἀφυσάμενος ὁ Κάϊν τὰς μισαδέλφους ἐφοίνιξε χεῖρας, καὶ ἔχρανε πρῶτος τὴν γῆν λύθρῳ συγγενικῷ. Ἐντεῦθεν μεθυσκόμενα τὰ ἔθνη θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτως γὰρ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου, καὶ παραπαίει, ὥσπερ ἀπὸ ζάλης, καὶ ὀργῆς. οὕτως μεθύσκεταί τις ἀπὸ οἴνου, καὶ παραπαίει ὡς ἀπὸ ἄσσης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας. Ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου, μὴ γεύσασθαι τὴν παρθένον, ἵνα νηφάλιος ὑπάρχουσα, καὶ ἄυπνος ἀπὸ μερίμνης βιωτικῆς, ἔκλαμπρον τὴν λαμπάδα τοῦ φωτὸς τῆς δικαιοσύνης ἐξάπτῃ τῷ Λόγῳ. Προσέχετε γάρ φησιν ὁ Κύριος, μὴ βαρυν-

dine obruti, in infidelitatem prolapſi, alluuione immerſi, abſorpti ſunt. Ex ea Cainus bibens, fratris inimicas manus cruentauit, primuſque terram cruore cognato contaminauit. Illius vino gentes obrutæ furorem ſuum in mutuas cædes exagitant. Aeque enim atq; a procella, & iracundia vino extra ſeſe agitur homo, & pedibus titubat, & ita vino inebriatus veſtigijs vacillat, vti a moleſtia, amore, & intemperantia ſtimulatur. Ex hac vite præcipitur, ne Virgo deguſtet, vt ſobria, & mundanis ſolicitudinibus libera, prælucidam luminis iuſtitiæ lampadem Verbo accendat. [a] Attendite enim, *ait Dominus,*

a Luc. 21. 34.

nus, ne grauentur corda veſtra in crapula & ebrietate, & curis huius vitæ, & ſuperueniat in vos dies illa tanquam laqueus. *Nec tantum illis, quæ ex vite illa conficiuntur, Virginem abſtinere præcipitur, ſed ijs etiam, quæ ad illius exemplar fiunt, illique non abſimilia ſunt. Sicera enim vinum factitium & ſpurium nuncupatur, ſiue ex palmulis, ſiue ex alijs arborum baccis præparetur. Quemadmodum enim ex vino propinationes, ita & hæc prænimis rationẽ opprimunt. Et vt veriuerbio apud vos vtar, quidquid ebrietatem, & motionem animi confert, poſt vinum quod ex vite eſt, ſapientes Sicera vocant. Ne igitur a delictis ſo-*

θῶσιν αἱ καρδίαι ὑμῶν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς. Οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς κατὰ μηδένα τρόπον προσίεσθαι τὴν παρθένον, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς, καὶ παραπλησίων. σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, εἴτε ἐκ τῶν φοινίκων, καὶ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ἦ. ἐπιστομίζουσι γὰρ ὃν τρόπον αἱ ἐξ οἴνου προπόσεις καὶ ταῦτα σφοδρῶς τὸν λογισμόν, καὶ εἰ χρὴ φάναι λόγῳ πρὸς ὑμᾶς ἀληθεῖ, πᾶν τὸ μέθην φέρον, καὶ ἔκστασιν τῇ ψυχῇ μετὰ τὸ οἶνον τὸν ἐξ ἀμπέλου σίκερα κεκλήκασιν οἱ σοφοί. Ὅπως

lum-

οὐ δὴ μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας, ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται, καὶ ἀντιῤῥόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ' ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων διαφερόντων ὑφαῖς ἁβρυνομένη, ἢ καὶ λίθοις, καὶ χρυσῷ, καὶ πλεονεξίᾳ, καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ σῶμα καλλωπισμοῖς, ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν, διὰ τοῦτο ταῦτα νομοθετεῖ. ἵνα μὴ εἰς γυναικισμοὺς ἐκχέηται, καὶ γέλωτας, καὶ ἀπάτας ἀνασοβουμένη, καὶ μωρολογίας ἃ περιδινοῦσι, καὶ κυκῶσιν τὸν λογισμόν, ὥσπερ καὶ ἐν ἑτέροις ἐμήνυσε, οὐ φάγεσθε τὴν ὕαιναν, εἰπών, καὶ τὰ ὅμοια αὐτῇ, καὶ τὴν γαλῆν, καὶ τὰ ὅμοια τούτοις. Αὕτη γὰρ ὀρθὴ

ſummodo improbitatis, quæ generatim atque vniuerſe omnes inficiunt, præcauens, ab illorum aſſimilibus & æquilibribus anima maculetur, hæc quidem ſuperans, ab alijs vero ſuperata, vt ſi veſtimentorum præcellentiũ texturis, & lapidibus, & auro, & magnificentiori ſumptu, & reliquo alio circa corpus ornatu, cum & ipſa inebriant, inſoleſcat. propterea ſimilia præcipit, ne in muliebria effundatur ab uſu, ac fraudibus, necnon ſtultiloquētijs dimota, quæ mentem circumagunt, & confundunt; vt in alijs quoque indicat; [a] Ne comedatis, *dicens,* & hyænam, & illi ſimilia, & muſtellam & illis, ſimilia. *Hæc enim recta eſt ad cœ-*

lum

a Leuit. 13.

lum atq; compendioſa via, non ſolum ab impedimentis expeditum eſſe, quæ hominem præcipitem agunt & ab ijs abſtinere, quæ inquinant, ſed a reliquis omnibus eorum ſimilibus, quæ æque atq; illa commaculant. Nam incruentum altare Dei eſſe caſtorum cœtum, traditur. Adeo res magna & glorioſa Virginitas eſt; ideoque pura, & immaculata modis omnibus conſeruanda, nullarum corporis impuritatum particeps, ſed intus ante faciem teſtimonij ſapientiæ decore inaurata apud Sãcta Sanctorum collocanda; vt inde bonum dilectionis odorem Domino ſuffiet. [a] Facies enim mihi, *ait, poſt altare ære circumueſtitum, & ad quod holo-*

πρὸς οὐρανὸν καὶ σύντομος ὁδοιπορία, οὐ δεῖ μόνον ἐμπόδιον ἐφέλκεσθαι τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον, οὐδ᾽ ἀπὸ τῶν χραινόντων μόνον φυλάττεσθαι, ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτοῖς. καὶ γὰρ θυσιαστήριον ἀναίμακτον εἶναι παρεδόθη Θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν. Οὕτω μέγα τι χρῆμα, καὶ ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ καὶ ἄχραντον αὐτὴν, καὶ καθαρὰν πάντῃ φυλακτέον, μηδὲν κοινωνοῦσαν ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ᾽ ἔσω κατὰ πρόσωπον τοῦ μαρτυρίου σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρύσθαι, τὴν εὐωδίαν τῆς ἀγάπης ἀναθυμιῶσαν Κυρίῳ. Ποιήσεις γάρ μοι, φησὶ, μετὰ τὸ θυσιαστήριον τὸ περικεχαλκωμένον,

cauſta

a *Exod.* 30. 1.

εἰς ὃ τὰ ὁλοκαυτώματα ἀνεκομίζοντο καὶ αἱ προσφοραὶ, ἄλλο θυσιαστήριον ἐξ ἀσήπτων ξύλων, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ, καὶ δώσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς κιβωτῆς τοῦ μαρτυρίου κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ. καὶ θυμιάσει ἐπ' αὐτοῦ Ἀαρὼν θυμίαμα Κυρίῳ ἀρωμάτων ἐν πρωῒ, ὅτε ἀγαθυνῇ τοὺς λύχνους. θυμιάσει ἐπ' αὐτοῦ θυμίαμα διὰ παντὸς ἔναντι Κυρίου εἰς τὰς γενεὰς ὑμῶν. οὐκ ἀνοίσει ἐπ' αὐτοῦ θυμίαμα ἀλλότριον, ἢ ὁλοκαύτωμα. θυσίαν, καὶ σπονδὴν οὐ σπείσει ἐπ' αὐτοῦ. Εἰ ὁ νόμος ἐστὶ κατὰ τὸν Ἀπόστολον πνευματικὸς, τὰς εἰκόνας ἐμπεριέχων τῶν

cauſta & oblationes deferebantur, aliud altare de lignis non putreſcentibus. veſtieſq; illud auro, & dabis illud contra velum, quod ante arcam teſtimonij in faciem propitiatorij, quod eſt in teſtimonijs, in quibus cogoſcar ibi tibi. Et adolebit ſuper eo Aaron incenſum Domino aromatum mane, quando ſtudioſe componet lucernas adolebit ſuper eo incenſum in perpetuum coram Domino in generatione veſtra. Non offeret ſuper eo thymiama exterum, & holocauſtum. Sacrificium & libamen non libabit ſuper eo. *Si lex* eſt, *decreto Apoſtoli*, ſpiritualis *futurorum bonorum imagines in ſe continens, age iam*

lite-

literæ ſciſſo ſuperextenſo velamine expendamus illius rationem, ac latens ſub eo ipſo diligenter myſterium enodatum explicemus. Præcipiebatur Hebræis vario ornamentorum genere tabernaculum, quæ erat Eccleſiæ imago, diſtinguere, illuſtrareque, vt per ea, quæ ſenſibus obijciuntur, rerum diuinarum ſpecies prænunciarent. Exemplum enim in monte obiectum, in quod reſpiciens Moyſes, tabernaculum confecit, exquiſita quædam erat cœleſtis adminiſtrationis ſpecies, quam nos figuris quidē ac typis clarius, veritate vero ipſa obſcurius in præſenti colimus. purū etenim ac ſincerum, vt videtur, non dum peruenit ad homines, qui neq; ferre quidem poſſumus, neque conſpicere

μελλόντων ἀγαθῶν, φέρε δὴ ἀπαμφιάσασι τὸ ἐπ᾽ αὐτῷ κάλυμμα τοῦ γράμματος ἐφηπλωμένον, ἐπισκεψώμεθα γυμνῶς τὴν ἀκρίβειαν. μίμημα τῆς Ἐκκλησίας ἐκελεύοντο δαιδάλλειν Ἑβραῖοι τὴν σκηνήν, ἵν᾽ ἔχοιεν διὰ τῶν αἰσθητῶν τὴν εἰκόνα τῶν θείων προκαταγγέλλειν πραγμάτων. τὸ γὰρ ἐν τῷ ὄρει παράδειγμα παρενεχθὲν, πρὸς ὃ βλέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ Μωϋσῆς, ἰδέα τις ἦν τῆς κατ᾽ οὐρανὸν διοικήσεως ἀκριβής, ἣν ἡμεῖς τρανότερον μὲν τῶν τύπων, ἀμαυρότερον δὲ τῆς ἀληθινῆς θεραπεύομεν νῦν. Ἦλθε γὰρ ἀκραιφνὲς εἰς ἀνθρώπους, ὥσπερ ἔοικεν, οὔπω τὸ ἀληθές, οἱ μηδὲ βαστάζειν φέρομεν ἀ-

hic

κρατον ἐνταῦθα θεάσα-
σθαι τὴν ἀφθαρσίαν, ὁ-
πότε μηδὲ τὰς ἡλιακὰς
φέρομεν ἰδεῖν ἀκτῖνας.
Ἀλλ' Ἰουδαῖοι μὲν τὴν
σκιὰν ἀπὸ τῆς εἰκόνος
τρίτην ἀπὸ τῆς ἀληθεί-
ας κατηγγέλκασιν, ἡμεῖς
δὲ τὴν εἰκόνα τῆς κατ'
οὐρανὸν διοικήσεως ἐναρ-
γῶς ἐκθειάζομεν. τὸ γὰρ
ἀληθὲς ἀκριβῶς μετ'
ἀνάστασιν δηλωθήσεται, ὁ-
πότε πρόσωπον κατὰ πρό-
σωπον τὴν ἁγίαν σκηνὴν τὴν
πόλιν τὴν ἐν τοῖς οὐρανοῖς, ἧς
τεχνίτης καὶ δημιουργὸς ὁ
Θεός, ἀλλ' οὐ δι' αἰνιγ-
μάτων, καὶ ἐκ μέρους ἐπο-
πτεύσομεν. Ἰουδαῖοι μὲν
γὰρ τὰ ἡμέτερα προα-
νεφώνησαν, ἡμεῖς δὲ τὰ
οὐράνια προαγγέλλομεν.
ἐπειδήπερ ἡ μὲν σκηνὴ
σύμβολον ἦν τῆς Ἐκ-
κλησίας, ἡδὲ Ἐκκλησία

*hic puramputam im-
mortalitatem ; cum
nec ſolares radios ocu-
lis intueri ſuſtinemus.
Sed Iudæi quidem vm-
bram ab imagine, a
veritate nempe tertiam
denunciarunt : nos ve-
ro cœleſtis diſpoſitionis
imaginem palam ad-
mirantes, diuinis lau-
dibus extollimus. Nam
quod verum eſt exa-
cte poſt reſurrectionem
manifeſtabitur , cum*
[a] facie ad faciem *ſan-
ctum tabernaculum ,
ciuitatem dumtaxat
cœleſtem ,* [b] cuius o-
pifex, & conditor eſt
Deus , non per ſpe-
culum in ænigmate ,
neque ex parte, *aſpe-
ctu ipſo percipiemus ;
Iudæi nanque noſtra
prædixerunt ; nos cœ-
leſtia prænunciamus :
cum Tabernaculum typus eſſet Eccleſiæ, Ec-*

a 1. Corin. 13. 12. b *Hebr.* 11. 10.

cleſia vero cœlorum. Quæ cum ita ſe habeant, & Tabernaculum in figuram Eccleſiæ aſſumatur, vt diximus, neceſſe eſt altaria quoque rerum, quæ in Eccleſia ſunt, imagines eſſe ac typos: & altare ære circumueſtitum ſeniorum ſenatui, & viduarum vallo aſſimilari: ſunt quippe Dei ara animata, in qua afferentes vitulos ac decimas, & quæ vltro deferuntur, ſacrificia Domino abſoluimus. At altare vndique auro pellucidum inter ſancta ſanctorum collocatum ante arcam teſtimonij, in quo & ſacrificia, & libamina afferri prohibetur ijs, qui in virginitate ætatem agunt, comparari debet, incorrupto auro, non putreſcentia concubitu corpora communitis. Duo

τῶν οὐρανῶν. Διὸ τούτων οὕτως ἐχόντων, καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς Ἐκκλησίας, ὡς ἔφην, λαμβανομένης, χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν Ἐκκλησίαν πραγμάτων φέρειν. καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ, καὶ τῷ περιβόλῳ τῶν χηρῶν· Θεοῦ γάρ εἰσιν ἔμψυχος βωμὸς, εἰς ὃν ἀνακομίζοντες τοὺς μόσχους καὶ τὰς δεκάτας, καὶ τὰ ἑκούσια θυσίας τελοῦμεν Κυρίῳ. τὸ δὲ περίχρυσον θυσιαστήριον ἔνδον ἐν τοῖς ἁγίοις τῶν ἁγίων κείμενον κατὰ πρόσωπον τοῦ μαρτυρίου, εἰς ὃ ἀπείρηται θυσίαν, καὶ σπονδὴν ἀναφέρεσθαι, τοῖς ἐν παρθενίᾳ παραβλητέον τῷ ἀκηράτῳ χρυσῷ τὰ ἄσηπτα συνουσίας σώματα κατησφαλισμέναις. δύο

ete-

γὰρ τὰ εἰς ἔπαινον θρυλλοῦνται χρυσοῦ, ὅτι τε ἰὸν οὐ παραδέχεται, καὶ τὴν χροιὰν ταῖς ἡλίου μετρίως παραπλησιάζειν φαντάζεται βολαῖς. Σύμβολον δὲ εἰκότως ἄρα τοῦτο τῆς ἁγνείας τῆς μὴ προσιεμένης ἐστὶ κηλῖδα, καὶ σπῖλον, ἀλλὰ τῷ φωτὶ καταστραπτομένης ἀεὶ τοῦ Λόγου, διὸ καὶ ἔνδον εἰς τὰ ἅγια τῶν ἁγίων ἕστηκε πλησιέστερον, καὶ ἔμπροσθεν τοῦ Πνεύματος ἀχράντοις χερσὶ θυμιαμάτων δίκην τὰς προσευχὰς ἀναπεμπάζουσα Κυρίῳ δεκτὰς εἰς ὀσμὴν εὐωδίας, καθὼς ὁ Ἰωάννης ἐμήνυσε τὰ θυμιάματα τὰ ἐν ταῖς φιάλαις τῶν εἰκοσιτεσσάρων, προσευχὰς Ἁγίων εἶναι φήσας. Ταῦτά σοι ὡς ἐκ τοῦ παραχρῆμα κἀγὼ κατὰ δύ-

etenim in laudem auri publice dicuntur, & quod ærugine non imbuatur, & quod colorem ſolaribus radijs nõ abſimilem moderate præſeferat. Typus porro caſtimoniæ id erit, nec incongrue, quæ nullam in ſeſe maculam, nec inquinamentum admittit; ſed continuo Verbi lumine colluſtratur, proptereaque in parte interiore, ſanctis ſanctorum proximat, & ante ſpiritum immaculatis manibus inſtar ſuffimentorũ preces Domino fundit acceptabiles in odorem ſuauitatis: ſicuti etiam Ioannes ſuffimenta in phialis vigintiquatuor ſeniorum, preces eſſe Sanctorum ſignificauit. Hæc tibi & ipſa de improuiſo, vtut potui, de Caſtimonia, o Vir-

I 2 *tus,*

a *Apoc.* 5. 9.

tus, confero. Vbi dicendi finem fecit Thalluſa; Theopatra ſubnexuit, ſceptro Virtutem Agatham tetigiſſe, Illam ſtatim atque perſenſit, aſſurrexiſſe, reſpondiſſeque.

ναμιν ὑπὲρ ἁγνείας, ὦ Ἀρετή, συμβάλλομαι. Εἰπούσης δὲ ταῦτα τῆς Θαλλούσης, ἡ Θεοπάτρα ἔφη τῷ σκήπτρῳ τὴν Ἀρετὴν ψαῦσαι τῆς Ἀγάθης. τὴν δὲ αἰσθομένην εὐθέως ἀναστῆναι, καὶ ἀποκρίνασθαι ἔτι, ὅτι.

AGATHA

NOn abſque multa confidentia, & perſuaſione, & boni rectique opinione, te comitante, ego quoque, vt vires conceſſerint, in propoſitum argumentum aliquid conferre conabor; ad mea animum adÿciens non ad ea, quæ dicta ſunt. Neque enim adeo varie ac ſplendide ante me pertractatis, paria poſſem comminiſci. Et notam ſtupiditatis ſubierim, ſi ÿs, qui

ΑΓΑΘΗ.

ΜΕτὰ πολλῆς εὐτολμίας, καὶ πειθοῦς, καὶ τῆς τοῦ καλοῦ ὑπολήψεως, σοῦ παραμαρτυρούσης πειράσομαι δὴ κατὰ δύναμιν κἀγὼ εἰς τὸ προκείμενον εἰσενέγκασθαί τι, κατ' ἐμαυτὴν μέντοι, καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ γὰρ ἂν δυναίμην ἐφάμιλλα τούτοις οὕτω ποικίλως, καὶ λαμπρῶς ἀπειργασμένοις φιλοσοφεῖν. δόξω γὰρ ἀποφέρεσθαι ψόγον ἀβελτηρίας, εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοσι παρα-

ſapien.

πηδὴν. Εἰ οὖν ἀνέξεσθε καὶ τῶν ὅπως ἂν τεχθῇ ῥηθησομένων ἐπιχειρῶ λέγειν, οὐδὲν προθυμίας καθυφειμένη. ἀρκτέον δ' ἐντεῦθεν. Ἀμήχανον, ὦ Παρθένοι, κάλλος, καὶ συγγενὲς τῇ σοφίᾳ, καὶ προσφορον ἅπαντες εἰς τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνέμεθα. Ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ παρὰ τῷ γεννήσαντι τότε μάλιστα, καὶ πλασαμένῳ, ὁπότε τὴν καθ' ὁμοίωσιν ἰδέαν ἄχραντον ἐκλάμπουσι, καὶ τοὺς χαρακτῆρας τῆς ὄψεως ἐκείνης, πρὸς ἣν ἀφορῶν ὁ Θεὸς ἀθάνατον μορφὴν καὶ ἀνώλεθρον ἐχούσας αὐτὰς ἀπειργάζετο, τοιαῦται διαμένουσι. Τὸ γὰρ ἀγγένητον κάλλος, καὶ ἀσώματον, καὶ μή-

ſapientia præpollent, exæquari contenderem. Si autem æquo animo tuleritis eos, qui vtcunque, & vtvt occurrerit orationes, conſuunt, ad dicendum, nihil de alacritate animi demittens, accingor. Hinc vero orationem exordiar. Inenarrabilem, o Virgines, pulchritudinem & ſapientiæ affinem, & admodum proficuam, cum in hunc mundum accedimus, poſſidemus. Nanque exacte efficlæ ſunt animæ tum a genitore & creatore, cum ſpeciem, quæ ſecundũ ſimilitudinem eſt, intaminatam, & imaginis illius notas præſeferunt, quam reſpiciens Deus immortalem, nulleque fini obnoxiam formam creabat, & quam ipſæ poſtmodum poſſidentes ita, vt tum fuerunt, perſeuerant. Pulchritudo ſiquidem ingenita, atq;

incorporea, & quæ neq; principium, neque caſum nouit, ſed perpetuo conſtans, & ſenij expers, & nullius indiga, ipſa in ſeſe, & ipſum lumen inenarrabilibus, & inacceſſis poteſtatibus requieſcens, affluenter omnia continens, & creans, & in alias atque alias formas conuertens ſecundum imaginis ſuæ effigiem animam creauit. Quapropter rationis compos eſt & immortalis. Nam ſecundum Vnigeniti, vt dixi, effigiem facta pulchritudine plane immenſa præcellit. ideoq; improbitatis ſpiritus eam depereunt, & inſidias tendentes, illius diuinum ſplendorem, & peramabilem ſpeciem fœdare nefaria rerum molitione conantur; quemadmodum & Ieremias Propheta exprimit, exprobrans Hieruſalem.

τε ἀρχόμενον, μήτε φθίνον, ἀλλ' ἄτρεπτον, καὶ ἀγήρως, καὶ ἀπροσδεὴς, αὐτὸς ἐν ἑαυτῷ, καὶ εἰς αὐτὸ φῶς, ἐν ἀφράστοις, καὶ ἀπροσίτοις ἀναπαυόμενον, ἐξουσίαις περιουσίᾳ πάντα περιέχων, καὶ κτίζων, καὶ μετασκευάζων ἐτεκτήνατο κατ' εἰκόνα τῆς εἰκόνος ἑαυτοῦ τὴν ψυχήν. Διὸ καὶ λογικὴ, καὶ ἀθάνατός ἐστι. κατ' εἰκόνα γὰρ δημιουργηθεῖσα τοῦ Μονογενοῦς, ὡς ἔφην, ἀφόρητον ἔχει τὸ κάλλος. Διὸ δὴ καὶ τὰ πνευματικὰ τῆς πονηρίας ἐρῶσιν αὐτῆς, καὶ ἐφεδρεύουσι χραίνειν βιαζόμενα τὴν θεοείκελον αὐτῆς αἴγλην καὶ ἐπέραστον ἰδέαν. ὥσπερ δὴ καὶ ὁ Προφήτης Ἱερεμίας παρίστησιν, ὀνειδίζων τὴν Ἱερουσαλήμ.

Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας ἀπέναντι τῶν ἐραστῶν σου, τὴν παρεχοῦσα ἑαυτὴν ταῖς ἀντικειμέναις δυνάμεσιν εἰς βεβήλωσιν, λέγων. ἐρασταὶ γάρ εἰσιν ὁ Διάβολος καὶ οἱ περὶ αὐτὸν Ἄγγελοι, οἱ τὸ γνωστικὸν ὑμῶν καὶ διορατικὸν τῆς φρονήσεως κάλλος, μιαίνειν, καὶ μολύνειν τῇ ἑαυτῶν ἐπιμιξίᾳ τεχναζόμενοι, καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ Κυρίῳ νενυμφευμένης ἐπιθυμοῦντες ψυχῆς. Ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινές, καὶ τοιοῦτον ὁποῖον αὐτὸς ὁ συστησάμενος αὐτό, καὶ ζωγραφήσας ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος φύσιν, καὶ νοητὴν, ἧς καὶ χαρακτήρ ἐστιν ὁ ἄνθρωπος, καὶ ἀπεικόνισμα γεγονώς,

ſalem ; [a] Facies meretricis facta eſt tibi. ruborem eieciſti aduerſus amatores tuos, *quæ ſemetipſam, innuens, aduerſarijs poteſtatibus ad profanandum proſtituit. Amatores ſiquidem ſunt Diabolus, & illius ſatellites Angeli, qui rationis noſtræ atque perſpicacis cognitionis pulchritudinem, contaminare atq; inquinare ſuo commercio machinantur, adulteri fieri cuiſlibet animæ cupientes, quæ Deo deſponſata fuerit. Quiſquis itaque pulchritudinem hanc impollutam, atq; innocuam ſeruauerit, & qualem, qui eam primus efformauit atque effigiauit, ſempiternam æmulatus, &*

intellectualem naturam, cuius homo character

 eſt

a Ierem. 3. 3.

eſt & ſimulacrum, veluti ſtatua quampulcherrima & ſacra, hinc ad Beatorum vrbem, cœlum ſcilicet delatus, quemadmodum in templo, habitationis ſuæ ſedem collocabit. Nam forma noſtra immaculata optime ac tuto tunc conſeruatur, cum tecta Virginitatis ſcuto ab extraneo corruptionis calore non denigratur; ſed ipſa in ſeſe manens iuſtitia decoratur, filio Dei iuncta connubio, quemadmodum & ipſe inſtruit, adhortans, opus, eſſe veluti in lampadibus, carnibus nempe proprijs, lumen caſtitatis inextinctum incendi. quod decem Virginum numerus, Ieſu concreditarum animarum numerum explicat, I, litera ſolam in cœlos viam recte ducentem deſignans. Sed ha-

οἷον ἄγαλμά τι περικαλλέστατον, καὶ ἱερὸν. ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν. τοῦτ' οὐρανὸς, ὥσπερ ἐν ναῷ κατοικισθήσεται. Ἄχραντον γὰρ τὸ κάλλος ἡμῶν ἄριστα τηρεῖται τότε, καὶ ἀσφαλῶς, ὁπόταν δὴ παρθενίᾳ σκεπόμενον ὑπὸ τοῦ καύσωνος ἔξωθεν μὴ μελαίνηται τῆς φθορᾶς, ἀλλ' αὐτὸ ἐφ' ἑαυτοῦ μένον δικαιοσύνῃ κοσμεῖται, νυμφαγωγούμενον τῷ υἱῷ τοῦ Θεοῦ, ὃν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται, χρῆναι παραινῶν, ὥσπερ ἐν λαμπάσι ταῖς σφετέραις σαρξὶ τὸ φῶς ἄσβεστον ἀνακαίεσθαι τῆς ἁγνείας. Ἐπειδήπερ ὁ τῶν δέκα Παρθένων ἀριθμὸς, τὰς εἰς τὸν Ἰησοῦν πεπιστευμένας ἀναμετρεῖσθαι βούλεται ψυχάς. τῷ ἰῶτα τὴν ἀπευθύνουσαν μό-

νην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀποτυπούμενος. Ἀλλ' αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα, καὶ σοφαί, αἱ δὲ πέντε μωραί, καὶ ἄσοφοί τινες. οὐ γὰρ προεμηθεύσαντο ἐλαίου σφῶν τὰ ἀγγεῖα πλήρη κατασκευάσαι, δικαιοσύνης ἀπομείνασαι κεναί. Αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπιπερχομένας ἐλθεῖν, καὶ πάντα εἰς τὸ συμπληρωθῆναι τὸν ἔρωτα τούτων κοσμίως δρώσας, καὶ σωφρόνως, καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμνυνομένας τοῦτο σκοπεῖν, ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς, καὶ ὥσπερ σκιαγραφούσας μᾶλλον εἴδωλον ἀρετῆς, ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν. Τὸ γὰρ λεγόμενον, ὁμοιοῦσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα

harum quinque prudentes erant ac ſapientes, quinque fatuæ atque inſipientes; neque enim proſpexerant vaſa ſua oleo implere, dum iuſtitia denudatæ vacuæ manſiſſent. His enim innuit eas, quæ ad terminos virginitatis peruenire contendunt, omniaque, vt deſideriũ ſuum impleant, decore ac ſobrie pertentant, & profitentur quidem, & iactanter gloriantur, id vnum incumbere, atque animo voluere, poſtmodum pigritia præuerſæ, & mundanarum rerum vicibus ſuperatæ, virtutis veluti ſimulacrum adumbrant, non ipſam animatam veritatem conſectantur. Quod enim dicitur, [a] Simile eſſe regnum cœlorum decem

cem

a Matth 25. 1.

cem Virginibus, quæ acceperunt lampades ſuas, & exierunt obuiam ſponſo, *indicat, appetiiſſe quidem vniuerſas eadem fortitudine circumuniri, ſed quinq; infractis ad conatus viribus torpuiſſe. Ornauerunt quippe ſemetipſas pari cultu, iiſdem ſtudiis addictæ, ideoque decem nuncupantur, quæ idem, vt dictum eſt, propoſitum amplexatæ ſunt; at non pari modo exierunt, obuiam ſponſo ituræ. Quædam enim affluens alimentum, & in tempus ſubſequens lampadibus, quæ oleo aluntur, ſuffecturum ſubminiſtrarunt, aliæ ſocordi natura, ac negligente laxatæ præſentis tantummodo curam habuere; ideoque æquo numero diſtinctæ quinq; ſunt & quinque. Quandoquidem quinq; ſenſus partim*

παρθένοις, αἵτινες ἔλαβον τὰς λαμπάδας ἑαυτῶν, καὶ ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ, σημαίνει, βουληθῆναι τὴν αὐτὴν ἀνδρίαν ἐνδύσασθαι πάσας, μὴ μέντοιγε ἐξισχῦσαι τὰς πέντε. ἐστείλαντο μὲν γὰρ αἱ παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ ταύτῃ κικλήσκονται δέκα. ἐπειδὴ τὴν αὐτὴν, ὡς ἔφην, εἵλοντο πρόθεσιν. οὐκέτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ τροφὴν ἄφθονον, καὶ εἰσαῦθις ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατερραθύμησαν, τοῦ παρόντος μόνον ἐπιμεληθεῖσαι. Διὸ δὴ καὶ ἰσάριθμοι πρὸς πέντε διαιροῦνται. ἐπειδήπερ τὰς πέντε αἰσθήσεις, αἱ μὲν αὐτῶν ἐφυλά-

ξαντο καθαρὰς καὶ παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖστοι σοφίας προσηγόρευσαν πύλας. αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο, φύρασαι κακίας. ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνευσάμεναι δικαιοσύνῃ, διεφόρησαν μᾶλλον τοῖς παραπτώμασιν, ἐξ οὗ δὴ καὶ συνέβη τῶν θείων ἔξω περιβόλων ἀποκλεισθείσας ἀπαγορευθῆναι. Εἴτε γὰρ κατορθοῦμεν, εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα, καὶ τὰ ἀνδραγαθήματα κρατύνεται, καὶ τὰ κακοπραγήματα. Καὶ ὥσπερ ἡ Θάλλουσα, καὶ ὀφθαλμῶν ἁγνείαν ἔφη καὶ ὤτων εἶναι, καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων, οὕτω δὴ καὶ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν

ipſarum puros & a peccatis virgines, quos plerique ſapientiæ portas appellant, conſeruarunt: partim contra improbitatibus commixtæ multitudine delictorum læſerunt. Nanque cum temperantes caſtæque fuiſſent ab operibus iuſtitiæ lapſuum copioſiore agmine fœcundiores redditæ ſunt. Quare & contigit eas extra diuinos ambitus contruſas, repulſam paſſas fuiſſe: Siue enim bene rem gerimus, ſiue turpiter facimus, his & recte facta facinora, & improbe patrata ſcelera robur acquirunt: &, vt Thallusa & oculorum, & aurium, & linguæ, & reliquorum ſenſuum caſtimoniam eſſe, dixit, pari modo hic quoque, quæ fidem horum quinque virtutis adituum, viſus, nempe

gu-

guſtus, odoratus, tactus, necnon & auditus nullo ſubductam furto, conſeruauit, quinq; Virgines nuncupatur, quod quinque ſenſus ab omni tetra imaginatione immunes, in ſingulis eorum, veluti lampade ſanctimonia ſplendide micans, Chriſto reddidit. Nam lampas quinis luminibus decora, vere caro eſt, quam anima geſtans, inſtar facis adſtat ſponſo Chriſto, reſurectionis die per omnes ſenſus commoſtrans exilientem ſplendidam fidem: vt ipſe inſtruebat dicens;[a] Ignem veni mittere in terram. & quid volo, niſi vt accendatur, *Terram noſtras babitationes vocans, ignem vero & lumen ſapientiſſimam & ſplendidam ſuæ doctri-*

πέντε διόδων τῆς ἀρετῆς, ὁράσεως, γεύσεως ὀσφρήσεως, ἀφῆς τε, καὶ ἀκοῆς, πέντε προσαγορεύονται παρθένοι, διὰ τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ᾽ ἑκάστης αὐτῶν, οἷα λαμπάδα τὴν ὁσιότητα λάμπουσα ἱκανῶς. Ἡ γὰρ πεντάφωτος ἡμῶν ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δαδὸς δίκην τῷ νυμφίῳ παρίσταται Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως περιφαίνουσα διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν λαμπρὰν τὴν πίστιν. καθὼς αὐτὸς ἐδίδασκεν εἰπών· Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί ἤθελον, εἰ ἤδη ἀνήφθη, γῆν ἡμῶν τὰ σκηνώματα φράζων, πῦρ δὲ καὶ φῶς, τὴν σοφωτάτην,

ctri

a Luc. 12. 49.

καὶ λαμπρὰν τῆς διδασκαλίας αὐτοῦ καὶ ἔμπυρον πρᾶξιν. Τὸ γὰρ ἔλαιον τῇ σοφίᾳ, καὶ τῇ δικαιοσύνῃ παραβλητέον. ἀνομβρούσης γὰρ ταῦτα τῆς ψυχῆς ἀφθόνως, καὶ ἐπιχεούσης τῷ σώματι εἰς ὕψος ἀναφλέγεται τῆς ἀρετῆς, ἄσβεστον τὸ φῶς ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπον, τὰς πράξεις τὰς καλὰς, ὥστε δοξασθῆναι τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς. Τοιοῦτον ἄρα προσέφερεν ἐν τῷ Λευιτικῷ ἄζυγον ἔλαιον, καθαρὸν, κεκομμένον καῦσαι λύχνον ἔξω τοῦ καταπετάσματος ἔναντι Κυρίου. ἀλλ' ἐκείνοις μὲν βραχύτατον φῶς προσετέτακτο θεραπεύειν ἀφ' ἑσπέρας εἰς ἕω. ὁ γάρ τοι λύχνος αὐτῶν ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ Προφητικῷ τὴν ἐπὶ σωφροσύνῃ φαίνοντι παῤῥησίαν, τρεφόμενος ἀπὸ τῶν πράξεων, καὶ

ctrinæ & exardeſcentem actionem. oleum enim ad ſapientiam & iuſtitiam comparandũ eſt. Eas nanque, dum veluti imbres munifice anima diffundit, & ijs corpus irrorat, altus Virtutis ignis inextinctus attollitur, ante homines lumen actionibus bonis proijciens, vt glorificetur Pater, qui in cœlis eſt. Nec aliud in Leuitico offerebatur [a] oleum ſine fæce, purum, abſiſum ad accendendam lucernam extra velum coram Domino. *ſed illis quidem lumen breuiſſimum fouere præcipiebatur*; a veſpere vſque ad mane. *Lucerna enim illorum videbatur aſſimilari ſermoni Prophetico confidentiam de caſtimonia*

mon-

a Leuit. 24. 2.

monſtranti, quæ de actionibus, & fide populi alebatur; templum vero hæreditatis funiculo. Quandoquidem lucerna vna tantum in domo valet illuminare. Neceſſe itaq; erat antequam dies eſſet, lucernam hanc aduri. Accendant enim eam, *dicit*, vſq; ad mane. *vſque ſcilicet ad Chriſti aduentum, quod caſtimoniæ atque iuſtitiæ ſole exorto, lucerna opus non eſt. Quo tempore itaq; populus ille, quæ alerent lucernam, veluti in theſaurum reponebat, oleum operando miniſtrans, lucerna illis continentiæ non extinguebatur: ſed ſemper erat conſpicua & ſplendens in hæreditatis funiculo. Cum vero oleum fidei defecit, ipſis in intemperiem prollapſis, Lucerna penitus* ex-

τῆς πίστεως τοῦ λαοῦ. ὁ δὲ ναὸς, τῷ σχοινίσματι τῆς κληρονομίας. Ἐπειδήπερ λύχνος περὶ οἶκον ἕνα μόνον δύναται φαίνειν. περὶ τῆς ἡμέρας οὖν ἐχρῆν τοῦτον καίεσθαι τὸν λύχνον. καύσουσι γάρ, φησιν, αὐτὸν ἕως πρωῒ, τουτέστιν ἕως τῆς παρουσίας τοῦ Χριστοῦ. Ὅτι τοῦ ἡλίου τῆς ἁγνείας ἀνατείλαντος καὶ τῆς δικαιοσύνης οὐ χρεία λύχνου. Ὅσον μὲν οὖν ὁ λεὼς ἐκεῖνος χρόνον ἀπεθησαύριζε τὰ τρέφοντα τὸν λύχνον ἐπιχορηγῶν τὸ ἔλαιον διὰ τῶν ἔργων, ὁ λύχνος αὐτοῖς οὐκ ἔσβεστο τῆς σωφροσύνης. καὶ ἦν φαινόμενος ἀεὶ, καὶ λάμπων ἐν τῷ σχοινίσματι τῆς κληρονομίας. ὅτε δὲ ἀπέλιπε τὸ ἔλαιον ἀπὸ τῆς πίστεως, εἰς ἀκολασίαν αὐτῶν ἐκτρα-

παλιωθέντων, ὁ λύχνος ἄφνω ἀπεσβέσθη, ἵνα δὴ πάλιν ἐξαστράψωσι τὰς λαμπάδας ἐπαλλήλοις διδαχαῖς, ἄνωθεν αἱ παρθένοι τοῦ κόσμου πυρσεύουσαι τὴν ἀφθαρσίαν. Χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔλαιον καὶ νῦν τῶν καλῶν ἔργων ἀδεῶς, καὶ τῆς συνέσεως, πάσης κάτω βριθούσης ἀφυλισμένον φθορᾶς. ἵνα μὴ χρονίζοντος τοῦ νυμφίου σβεσθῶσιν ὁμοίως, καὶ ἡμῶν αἱ λαμπάδες. Ὁ γάρ τοι χρονισμός ἐστι τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ. ὁ δὲ νυσταγμός, καὶ ἡ κίνησις τῶν δέκα παρθένων ἡ ἔξοδος ἀπὸ τοῦ βίου. τὸ δὲ μεσονύκτιον ἡ βασιλεία τοῦ Ἀντιχρίστου, καθ' ἣν ὁ ὀλοθρεύων Ἄγγελος ἐμπορεύεται τὰς οἰκίας. ἡ δὲ κραυγὴ ἡ γενομένη, καὶ

extincta eſt; vt rurſus lampades mutuis præceptionibus deſuper Virgines incendant, & mundo accenſis ſublatiſque facibus incorruptibilitatem eiaculentur. Suppeditandum itaque eſt in præſentia ſine fæce oleum affluenter bonarum operationum, & prudentiæ, ab omni corruptione, quæ deorſum graueſcit, defæcatum, ne, ſi cunctatus fuerit ſponſus, pariter noſtræ quoque lampades extinguãtur. Nanque cunctatio ante Chriſti aduentum ſpatium eſt: dormitatio motuſque decem Virginum ab hac vita exitus: nox media regnum Antichriſti, qua calamitoſus, & perniciabilis Angelus domos circumuerſat: clamor autem exortus, atque intonans,

ᵃ Ecce ſponſus venit, exite obuiã ei, *vox eſt de cœlo, tubaq; cum corpora Sanctorum omnia reſurgent, ipſique ſuper nubes in occurſum Domini rapti progredientur. Illud etenim animo attendendum eſt, poſt clamorem omnes Virgines, vt Verbum dixit, ſurrexiſſe, poſt nempe de cœlo deuectum clamorem, mortuos reſurrecturos, vt quodam in loco Paulus denunciat;* [b] Quoniam ipſe Dominus cum hortatu, in voce Archangeli, & in tuba Dei deſcendet de cœlo, & mortui in Chriſto reſurgent primum, *hoc eſt tabernacula. Nanque ſpoliata animis demortua iacent.* Deinde nos, qui viui-

λέγουσι, Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ, ἡ φωνή ἐστιν ἡ ἀπὸ τῶν οὐρανῶν, καὶ ἡ σάλπιγξ, ὁπότε πάντων ἐξαναστάντων αὐτοῖς οἱ Ἅγιοι τῶν σωμάτων ἐπὶ νεφελῶν οἰχήσονται, εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ Κυρίου. Προσεκτέον γὰρ, ὅτι μετὰ τὴν κραυγὴν ἐγηγέρθαι πάσας τὰς παρθένους, ἔφη ὁ Λόγος. τουτέστι μετὰ τὴν ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσαν βοὴν ἀναστήσεσθαι τοὺς νεκρούς. ὥσπερ καὶ Παῦλος παρεγγυᾷ, ὅτι, αὐτὸς ὁ Κύριος, λέγων, ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, τουτέστι τὰ σκηνώματα. ἐνεκρώθη γὰρ ἀπαμφιασθέντα τῶν ψυχῶν. Ἔπει-

mus

a *Matth.* 25.6.   b 1. *Theſſ.* 4.16.

τὰ ἡμεῖς οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα. τὰς ψυχὰς, λέγων. ἡμεῖς γὰρ κυρίως οἱ ζῶντες ἐσμὲν αἱ ψυχαὶ, αἵτινες μετὰ τῶν σωμάτων, ἀπειλῆφθαι ταῦτα, ἐν νεφέλαις ὑπαντησόμεθα τὰς λαμπάδας φέρουσαι κεκοσμημένας οὐκ ἀλλοτρίῳ καὶ κοσμικῷ κόσμῳ τινὶ, ἀλλὰ τῷ φρονήσεως, καὶ σωφροσύνης, ἄστρων δίκην ἀποστιλβόντων σέλας αὐγῆς αἰθερίου πεπληρωμένον. Ταῦτα τῶν ἡμετέρων, ὦ καλλιπάρθενοι, τὰ ὄργια μυστηρίων. αὗται τῶν ἐν παρθενίᾳ μυσταγωγηθέντων αἱ τελεταὶ. ταῦτα τὰ ἐπίχειρα τῶν ἀμιάντων ἄθλων τῆς σωφροσύνης. Νυμφεύομαι τῷ Λόγῳ, καὶ τὸν ἀΐδιον τῆς ἀφθαρσίας προῖκα λαμβάνω στέφανον, καὶ πλοῦτον παρὰ τοῦ πατρὸς. καὶ ἐν τοῖς αἰῶσι στεφανηφοροῦσα πομπεύω τὰ

mus ſimul cum illis rapimur, *animas innuens. Nos enim proprie, qui viuimus, animæ ſumus, quæ cum corporibus, tum aſſumptis in nubibus obuiam ibimus, geſtantes lampades non alieno mundanoq; ornatu, ſed prudentia & caſtimonia quaſi ſtellis, lumine ſplendoris ætherei pleno, emicantibus, decoras. Hæc, o pulchræ Virgines, noſtrorum myſteriorum arcana. Hæc eorum, qui Virginitati ſeſe deuouerunt ſacra. Hæc immaculatorum caſtimoniæ certaminum præmia. Deſponſor Verbo, & æternam incorruptibilitatis coronam nulla numerata mercede conſequor, & a Patre diuitias, & in ſempiternis ſeculorum æta-*

tibus capite coronato prælucentes, & incorruptos ſapientiæ flores oſtento. Cum ſimul diſtribuente Chriſto præmia, in cœlo circa Regem, qui & principio & fine caret, choreas duco. Luminum nunquam occidentium lampadem fero, & nouiſſimum cum cœtu Archangelorum, nouam Eccleſiæ hilaritatem denuncians hymnum decanto. Vna etenim ſimul Virginum multitudo Dominum ſequitur, & vbivbi ille eſt, ibi & eaſdem thiaſos inducere, fama eſt. Et hoc Ioannes innuit, cum [a] centum quadraginta quatuor chiliadum *mentionem inducit. Ite igitur, o nouarum ſeculorum Virginum cœtus. Ite, veſtra vaſa iuſtitia implete. Tempus enim eſt iam*

λαμπρά, καὶ ἀμάραντα τῆς σοφίας ἄνθη. Συγχορεύω βραβεύοντι τοῦ Χριστοῦ κατ' οὐρανὸν ἀμφὶ τὸν ἄναρχον καὶ ἀνώλεθρον βασιλέα. ἀδύτων γέγονα λαμπαδηφόρος φώτων. καὶ ἐφυμνῶ τὸ καινότατον μετὰ τῆς ὁμηγύρεως ἆσμα τῶν Ἀρχαγγέλων τὴν καινὴν χαρὰν ἐξαγγέλλουσα τῆς Ἐκκλησίας. Συνέπεσθαι γὰρ ἀεὶ τὸν ὅμιλον τῶν παρθένων τῷ Κυρίῳ, καὶ συνθιασωτεύειν ἔνθα ἂν εἴη λόγος ἔχει. καὶ τοῦτο καὶ Ἰωάννης ἐν τῇ τῶν ἑκατὸν καὶ τεσσαράκοντα χιλιάδων καὶ τεσσάρων αἰνίττεται μνήμῃ. Ἴτε οὖν ὦ νεολαία τῶν καινῶν αἰώνων. ἴτε, τὰ ἀγγεῖα πληρώσατε σφῶν δικαιοσύνης. ὥρα γὰρ λοιπὸν ἐξεγείρεσθαι, καὶ ὑ-

ſur-

a *Apoc.* 7. 4.

παντάζειν τῷ νυμφίῳ. Ἴτε τὰς ἴϋγγας καὶ τὰ θέλγητρα κούφως παραμείψασαι τοῦ βίου τὰ περιδινοῦντα, καὶ γοητεύοντα τὴν ψυχὴν, τεύξεσθε γὰρ τῶν ἐπαγγελμάτων. Ναὶ μὰ τὸν ἁμετέρας ζωᾶς δείξαντα κέλευθον. Σοὶ τόνδε πλεκτὸν στέφανον ἐκ τῶν Προφητικῶν λειμώνων, ὦ Ἀρετὴ, κἀγὼ κομίσασα προσφέρω. Διαπεραναμένης οὖν ἄριστα καὶ Ἀγάθης, ἔφη, τὸν λόγον, καὶ εὐδοκιμησάσης ἐφ' οἷς ἰσηγόρησε, πάλιν ἡ Ἀρετὴ τὴν Πρόκιλλαν ἐκέλευσε λέγειν. ἡ δὲ ἀναστᾶσα, καὶ ἔμπροσθεν παρελθοῦσα τοῦ κλισιάδος ἔλεξε τοιάδε.

ſurgere, & ſponſo obuiam ire. Ite, poſtquã illecebras ac lenocinia huiuſce vitæ, quæ contorquent, & quaſi maleficijs animos contaminant, facile poſthabuiſtis: conſequimini ſiquidem promiſſiones. Ita erit, teſtemque adduco, qui noſtræ vitæ viam oſtendit. Hanc ex Propheticis pratis textam coronam ipſa quoque tibi offero, Virtus. Cum itaque & Agatha quam pulcherrime finem impoſuiſſet ſermoni, & pro ijs, quæ ex æquo cum alijs locuta eſt, laudem eſſet aſſecuta, iterum Virtus Procillæ dicendi munus impoſuit, quæ aſſurgens, & in medium tentorij procedens, hæc effata eſt.

ΠΡΟΚΙΛΛΑ.

Ἀπορρᾳθυμεῖν, καὶ μετὰ τοσούτοις, οὐ θε-

PROCILLA

POſt tot tantoſq; ſermones animum de-

ſpon-

ſpondere, fas mihi non eſt, o Virtus, quæ abſque vlla hæſitatione multiplicis variæque Dei ſapientiæ affluenter, & multis modis ſua, cuicunque illi libuerit, exibenti fidem adhibeo. Nam qui in alto nauigant, tradunt, eodem vento nauigantibus aſpirante, nauitas, alio atque alio modo vento excepto nauigationem curſumque per fluctus dirigentes, non in eadem loca ex alto inuehi conari. Alijs enim fauẽs recta ratem impellit, alios inflexo impetu agit, & nihilominus vtriſq; nauigatio & facillima, & quam ſuauiſſima ſuccedit. Sic & ſapientiæ ſpiritus intellectualis, & ſanctus, & vnigenitus ex paternis theſauris deſuper placide perflatus, qui nobis omnibus ſuauem cognitionis auram inſpirat, vires

μις μοι λόγοις, ὦ Ἀρετὴ ἀναμφισβήτως πεπιστευκέναι τῇ ποικίλῳ τοῦ Θεοῦ σοφίᾳ, πλουσίως ἐχούσῃ διδόναι, καὶ διαφόρως, ὅτῳ βούλεται. Καὶ γὰρ πελάγιοι πλωτῆρες, φασὶ, φέρεσθαι μὲν τοῖς ναυτιλλομένοις τὸ αὐτὸ πνεῦμα, ἄλλους δὲ τὰ περὶ τὸν πλοῦν ἀλλοίως αὐτῶν μεταχειριζομένους, οὐκ εἰς τὴν αὐτὴν εἰσορμίσασθαι σπουδάζειν. οἷς μὲν γὰρ τὸ πνεῦμα κατὰ πρύμναν οὔριον ἵσταται, τοὺς δὲ καὶ ἐξ ἐγκαρσίων φέρει, καὶ ὅμως ἑκατέροις ὁ πλοῦς ἀνύεται ῥᾷστα. Ἀτὰρ δὴ καὶ τὸ τῆς σοφίας νοερὸν Πνεῦμα, καὶ ἅγιον, καὶ μονογενὲς ἀπὸ τῶν πατρῴων ἄνωθεν πρᾴως καταπνεόμενον θησαυρῶν, πάσαις ἡμῖν λιγυρὸν οὔριον πνεῦμα γνώσεως ἐπαρκέσει, τὸν δ' ἐρ-

quo-

μον ἀλύπως ἀποδοθῶσι τῶν λόγων. ἐμοὶ γὰρ καιρὸς ἤδη λέγειν. Εἷς τρόπος ἀληθὴς ἐπαίνων οὗτός ἐστιν, ὦ Παρθένοι, καὶ σεμνὸς, ὁπόταν ὁ ἐπαινῶν τοῦ ἐπαινουμένου τῶν ἐπαίνων κρείττονα παρέχῃ μάρτυρα. πάρεστι γὰρ ἐντεῦθεν μαθεῖν ἀκριβῶς, ὅτι μὴ πρὸς χάριν, μηδὲ ἐξ ἀνάγκης, μηδὲ κατὰ δόξαν ἡ εὐφημία γίνεται τῶν λόγων, ἀλλὰ κατὰ ἀλήθειαν, καὶ ἀθώπευτον κρίσιν. Καὶ γὰρ οἱ πληρέστερον εἰσηγησάμενοι περὶ τοῦ πρὸ αἰώνων υἱοῦ τοῦ Θεοῦ Προφῆται, καὶ Ἀπόστολοι, καὶ μᾶλλον αὐτὸν τῶν ἄλλων θεολογήσαντες ἀνθρώπων, οὐκ εἰς ἀγγελικὴν ἀνήγαγον αὐτοῦ ῥῆσιν τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτὸν τὸν ἀνημμένον πάντων τὸ κῦρος, καὶ τὸ

quoq; curſum orationis peragendi ſuppeditabit. Sed iam tempus eſt, vt orationis initium faciam. Modus vnus laudationis, verus eſt, o Virgines, & grauis, cum qui laudat, illius qui laudatur, laudibus præſtantioris teſtimonio vtitur. Hinc enim addiſcimus plane, non in gratiam, neq; ex neceſſitate, aut etiam ſecundum opinationes inanes, ſed veritate, & adulari neſcio iudicio laudationem inſtitui. Nam qui copioſius de filio Dei, qui ante ſæcula eſt, ſermonem fecerunt, Prophetæ, & Apoſtoli, & ij, qui illi diuinitate aſſerta reliquis alijs hominibus multo ſupra eſſe tradiderunt, illius laudes non ad Angelica dicta retulerunt, ſed ad illum ipſum, qui omnium in ſeſe autoritatem

& poteſtatem continet. Addecebat ſiquidē reliquis omnibus præſtantiorem maioremque poſt Patrem, ſolum ſui maiorem in teſtimonium adducere. Sic & ipſa caſtimoniæ laudes non ad humanas opinationes referam: ſed in eum, cui curæ nos ſumus, & qui uniuerſa ad ſe trahit, quem ipſum illius agricolam, & pulchritudinis amatorem, & teſtem fide dignum oſtendam. Et hoc in Canticis Canticorū, ſi tamen libuerit, conſpicere palam quiſq; poterit, modo quas Dominus in virginitate ſolide conſtabilitas laudans, inquit, accurate examinarit.[a] Sicuti lilium inter ſpinas, ſic amica mea inter filias, *lilio comparat ob puritatem, iucundum odorem, & amœnitatem*

κράτος. Ἦν γὰρ ἐμπρεπὲς τὸν ἁπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα, μόνῳ τῷ ἑαυτοῦ μείζονι χρήσασθαι μάρτυρι. Καὶ δὴ καὶ τῆς ἁγνείας οὐκ εἰς ἀνθρωπίνην ἀνήσω κἀγὼ δόξαν τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτὸν, ᾧ μελλόμεθα, καὶ ὃς τὸ πᾶν αἴρεται, γεωργὸν αὐτῆς ἀποδεικνύουσα τοῦτον, καὶ ἐραστὴν τῆς ὥρας ὄντα, καὶ ἀξιόχρεω μάρτυρα. Καὶ τοῦτο καὶ ἐν τῷ τῶν Ἀσμάτων Ἄσματι πάρεστι διαθρῆσαι τῷ βουλομένῳ φανερῶς, ἔνθα καὶ αὐτὸς τὰς ἐπαγγελίας ὁ Κύριος τὰς ἐν παρθενίᾳ παγίως καταγεγενημένας ἐγκωμιάζων φησίν. Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἐν μέσῳ τῶν θυγατέρων, κρίνῳ παρεικάζων διὰ τὸ καθαρὸν, καὶ εὔπνουν, καὶ ἡδὺ, καὶ ἱλα-

a Cantic. 2. 2.

ἐὸν, τὸ χάρισμα τῆς ἁγνείας, καὶ ἐπανθοῦν ἁβρῶς, ἀεὶ λευκοῖς τοῖς κάλυξι τὴν ἀφθαρσίαν. Ὅθεν δὴ καὶ ἠρᾶσθαι τοῦ κάλλους τῆς ἀκμῆς αὐτῆς ὁμολογεῖν οὐκ ἐπαισχύνεται, Ἐκαρδίωσας ἡμᾶς, ἐν τοῖς ἑξῆς, ἀδελφή μου νύμφη, λέγων. Ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου. ὅτι ἐκαλλιώθησαν μασοί σου ἀπὸ οἴνου. καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Κηρίον ἀποστάζουσι χείλη σου νύμφη. μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσαν σου. καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ Λιβάνου. Κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.

hilarem, caſtimoniæ donum. Verna enim res eſt caſtitas, & germinans delicate perpetuoque candidis incorruptibilitatem caliculis. Proptereaque vigorem illius ac pulchritudinem deperire ſe fateri non erubeſcit; Vulneraſti nos, *in iis quæ poſt ſequuntur,* ſoror mea ſponſa, vulneraſti nos vno ex oculis tuis, & in vna colli tui inſitione; quam pulchræ factæ ſunt mammæ tuæ a vino, & odor vnguentorum tuorum ſuper omnia aromata: Fauum diſtillans labia tua, ſponſa. mel & lac ſub lingua tua, & odor veſtimentorum tuorum ſunt odor Libani. Hortus concluſus, ſoror mea ſponſa. Hortus concluſus. Fons ſignatus

a Cant. 4. 9

tus. *Has Chriſtus illis, quæ ad fines Virginitatis peruenere, laudes concinit, vnius ſponſæ nomine omnibus circumſcriptis. Quandoquidem ſponſam adaptatam eſſe oportet, & ab eo, qui ipſam deſponſauit, nomen accipere, necnon veluti ſignatam, immaculatum & immixtum hortum, in quo omnia cœli aromata ſuaueolentia germinant, vt ea ſeminibus incorporeis fruticentia ſolus Chriſtus adueniens carpat. Verbum etenim nihil ex ijs, quæ carnis ſunt, in delicijs habet, quod non illius conditionis eſt, vt ex corruptibilibus aliquid, veluti manus, faciem, ſiue pedes, ſuſpiciat; ſed in ipſam immateriatam & ſpiritualem pulchritudinem oculos figens, gaudet, & in hilaritatem ſeſe*

Ταῦτα Χριστὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας τῷ νύμφης ὀνόματι. Ἐπειδὴ τὴν νύμφην ἡρμόσθαι μὲν δὴ, καὶ κατωνομάσθαι τῷ μνηστευσαμένῳ, ἄχραντον δὲ ἔτι, καὶ ἀμιγῆ τυγχάνειν παράδεισον ὥσπερ ἐσφραγισμένην, ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύουσι τὰ ἀρώματα, ἵνα μόνος ἐλθὼν αὐτὰ δρέψηται Χριστὸς, ἀσωμάτοις βλαστήσαντα σποραῖς. ἐρᾷ γὰρ ὁ Λόγος οὐδενὸς τῶν σαρκὸς, ὅτι μὴ πέφυκεν ἀποδέχεσθαί τι τῶν φθειρομένων, οἷον χεῖρας, ἢ πρόσωπον, ἢ πόδας, ἀλλ᾽ εἰς αὐτὸ τὸ ἄϋλον, καὶ πνευματικὸν βλέπων εὐφραίνεται κάλλος, μὴ ἁπτόμενος τοῦ σώ-

con-

ματος τῆς ὥρας. Ἐπισκέψασθε γὰρ, ὅτι τὸ, ἐκαρδίωσας ἡμᾶς, ὦ Παρθένοι, τῇ νύμφῃ πρὸς αὐτοῦ λεγόμενον, ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν. ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς ξανότερον τὴν ἀλήθειαν ἐποπτεύει. Διττὴν γὰρ ὄψεως δύναμιν εἶναι παντί που καταφανὲς, μίαν μὲν ψυχῆς, θατέραν δὲ σώματος. καὶ οὐχὶ τῆς τοῦ σώματος ὁ Λόγος ἐρᾶν ὁμολογεῖ, ἀλλὰ τῆς κατὰ διάνοιαν μόνης, ἐν ἑνὶ, φάσκων, ἐκαρδίωσας ἡμᾶς ἀπὸ ὀφθαλμῶν σου, καὶ ἐν μιᾷ ἐνθέματι τραχήλου σου. ὅπερ ἐστὶν, ὦ αὕτη, τῷ ἐπεράστῳ σου βλέμματι τῆς συνέσεως ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον, ἔσωθεν τὸν ἀείδηλον κόσμον ἐξαστράπτουσα τῆς σω-

conuertens, a corporea pulchritudine abſtinet. Conſiderate vero, Vulneraſti nos, *o Virgines, ab eodem ſponſæ dictum,* vno oculorum tuorum, *prudentiæ oculum perſpicacem innuit, cum eum homo interior abſtergens, pure, & perſpicacius veritatem intuetur. Duplicem enim viſus facultatem eſſe nemo ambigit, alteram animæ, alteram corporis. & Verbum non corpoream amare fatetur, ſed eam quæ in mente eſt,* in vno, *inquiens,* oculorum tuorum vulneraſti nos, & in vna inſitione colli tui. *quod non aliud fuerit, quam perquam amabili tuæ prudentiæ viſione, cor noſtrum in amorem excitaſti, interiori paten-*

tiq; caſtimoniæ ornatu prælucida. colli enim inſitiones nuncupantur ex varijs prætioſiſque lapidibus monilia. ſed corpus accurantes animæ, ſenſibus hunc ornatum obnoxium, circa exterius carnis collum ad ſpectatores decipiendos circumponunt: caſte vero vitam agentes viceuerſa interiorẽ ornatum, qui ex vere pretioſis & varijs lapidibus libertatis, magnanimitatis, ſapientiæ, prudentiæ componitur, ſibi applicant, parum curantes de picturatis hiſce ornamentis, quæ inter ſeſe mutuo fumi inſtar fatiſcunt, & corporis immutationibus deſiccantur. Duplex etenim circa hominem ornatus conſpicitur; quorum interiorem Dominus amplectitur incorruptum,

φροσύνης. ἐνθέματα γὰρ τραχήλων καλοῦνται τὰ περιδέῤῥαια, τὰ ἐκ τιμίων, καὶ ποικίλων συντεθειμένα λίθων. Ἀλλ' αἱ μὲν σωμασκοῦσαι ψυχαὶ τὸν αἰσθητὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρὸς ἀπάτην τῶν θεωμένων, αἱ δὲ ἁγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν κόσμον ἐξάπτονται τὸν ἀπὸ τῶν τιμίων ὡς ἀληθῶς, καὶ ποικίλων συγκείμενον λίθων τῆς ἐλευθερίας, τῆς μεγαλοφροσύνης, τῆς σοφίας, τῆς σωφροσύνης, ὀλίγα φροντίζουσαι τῶν τῇδε ποικιλμάτων, ἃ δι' ἀλλήλων δίκην καπνοῦ μαραίνονται, καὶ ἐπαφαυαίνονται τοῦ σώματος ταῖς τροπαῖς. Διπλοῦς γὰρ ὁ περὶ τὸν ἄνθρωπον φαίνεται κόσμος, ὧν τὸν ἔνδον ὁ Κύριος

ἀποδέχεται, τὸν ἀκήρατον, ἐν μιᾷ, λέγων, τραχήλων ἐνθέματι τῆς νύμφης κεκαρδιῶσθαι, οἱονεὶ τὸ τοῦ ἔσωθεν ἀνθρώπου τῆς καταστολῆς ἁπλῶ ἀποστίλβοντος ὠρέχθαι σημαίνων. ὥς που καὶ ὁ Ψαλμῳδὸς μαρτυρεῖ, Πᾶσα, λέγων, ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. Μὴ ὑπολαμβανέτω δέ τις ἀποκρίνεσθαι τὸν ἕτερον ὅμιλον τῶν πεπιστευκότων, δόξας ἡμᾶς τὰς παρθένους μόνας εἰσηγεῖσθαι, τευξομένας, οὐ συννοήσας, ὅτι καὶ φυλαὶ, καὶ πατριαὶ, καὶ τάγματα κατ' ἀναλογίαν ἑκάστων ἔσονται τῆς πίστεως. καὶ τοῦτο καὶ Παῦλος διαγράφει, Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων, λέγων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει

in vna, *dicens*, colli inſitione *ſponſæ ſeſe eſſe vulneratum; interioris nempe hominis præmodum elucẽtis habitum appetÿſſe, ſignificans, quemadmodum & Pſalmodus teſtimonio ſuo comprobat,* [a] Omnis, *dicens*, gloria filiæ Regis ab intus. *Nemo vero in ſuſpitionem veniat, reliquum fidelium cœtum expungi, opinatus, nos ſolas Virgines introducere, promiſſionum futuras participes, non intelligens, & tribus & gentes & cohortes, ſecundũ fidei proportionem ſingulas præmia recepturas; quod & Paulus deſcribit,* [b] Alia gloria ſolis, & alia gloria lunæ, & alia gloria ſtellarum: ſtella ſiquidem a ſtella differt in gloria, ſic & reſurrectio mor-

a *Pſal.* 45. 14. b 1. *Corin.* 15. 41.

mortuorum. *Et Dominus non omnibus eadem præmia ſe præbiturum fatetur: ſed alios in regno cœlorum collocat: alijs terræ hæreditatem ſpondet: alijs Patris aſpectum pollicetur. Quare & hic primum agmen & ſanctum Virginum chorum uti in nuptiarum Thalamum, nouorum ſcilicet ſeculorum requietem, comitantem inſimul ingreſſurum vaticinatur. Martyrium ſiquidem ſubierunt, quæ non ad breue temporis momentum ſuſtinentes corporum grauamina, ſed totius vitæ decurſu in cruciatus deditæ, olympiacum caſtitatis certamen inire non refugerunt. Tormentis enim voluptatum immanibus, & pauoribus, &*

ἐν δόξῃ. οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. Καὶ ὁ Κύριος γὰρ οὐ πᾶσι τὰς αὐτὰς ὁμολογεῖ διδόναι τιμάς, ἀλλ' ἑτέροις μὲν ἐπὶ τὰ βασίλεια καταριθμεῖται τῶν οὐρανῶν, ἄλλοις κληρονομίαν ἐπαγγέλλεται γῆς. ἑτέροις ὄψεσθαι τὸν πατέρα. καὶ δὴ καὶ ἐνταῦθα πρῶτον τὸ τάγμα, καὶ τὸν χορὸν τὸν ἅγιον αὐτῶν τῶν παρθένων ὥσπερ εἰς νυμφῶνα τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα συνεισελεύσεσθαι χρησμῳδεῖ. Ἐμαρτύρησαν γὰρ οὐ κατά τι μόριον χρόνων, ἐν βραχεῖ καρτερήσασαι σωμάτων ἀλγηδόνας, ἀλλὰ διὰ παντὸς ἔτλησαν τοῦ βίου, μὴ ἀποδειλιάσασαι τὸν ὀλυμπιακὸν ἀληθῶς διαθλῆσαι τῆς ἁγνείας. βασάνοις τε γὰρ ἀγρίαις ἡδονῶν, καὶ φόβοις, καὶ λύπαις ἀντισχοῦσαι, καὶ ἄλλοις τῆς

triſti-

πονηρίας τῶν ἀνθρώπων κακοῖς, ἀποφέρονται τὰ γέρα πρὸ τῶν ἄλλων εἰς τὸν ἀμείνω τῆς ἐπαγγελίας ἐκταττόμεναι χῶρον· ἀμέλει ταύτας μόνας ἐκλεκτὴν νύμφην τὰς ψυχὰς, καὶ γνησίαν ὁ Λόγος ἑαυτοῦ καλεῖ, τὰς δὲ λοιπὰς παλλακὰς, καὶ νεάνιδας, καὶ θυγατέρας, λέγων ὧδε. Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός. Μία ἐστὶν ἡ περιστερά μου, τελεία μου, μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλελεγμένη τῇ γειναμένῃ αὐτήν. Εἶδον αὐτὴν αἱ θυγατέρες, καὶ μακαριοῦσιν αὐτήν. βασίλισσαι, καί γε παλλακαὶ αἰνοῦσιν αὐτήν. Πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς Ἐκκλησίας τῶν θυγατέρων

triſtitijs, & alijs improborum hominum vexationibus reſiſtentes, primæ ante alios munera, in melioribus promiſſionis locis collocatæ, reportant. Quandoquidem has ſolas animas electam ſibi ſponſam atque germanam Verbum nuncupat, reliquas autem concubinas, & adoleſcentulas, & filias, hunc in modum ediſſerens; [a] Sexaginta ſunt Reginæ, & octoginta concubinæ, & adoleſcentulæ, quarum non eſt numerus. Vna eſt columba mea, perfecta mea, vna eſt matri ſuæ, electa genitrici ſuæ. Viderunt eam filiæ, & beatam prædicabunt eam, Reginæ & concubinæ laudant eam. *Nanque cum multæ ſint Eccleſiæ filiæ,*

vna

a Cant. 6. 7.

vna eſt ſola electa, & pretioſiſſima in oculis illius ante omnes, Virginum agmen. Quod ſi cui de hiſce dubitatio remanet, & quaſi hæc capita non ſint abunde ſatiſq; pertractata, concupiſcit ſecundum ſpiritualem anagogem plenius informari, quænam ſint hæ Reginæ, & concubinæ, & adoleſcentulæ, dicemus, hæc potuiſſe enunciari de ijs, qui ab initio ſecundum temporum progreſſus iuſtitia perilluſtres fuere, nempe de ijs, qui ante diluuium & qui poſt diluuium, & qui Chriſtum ipſum ſeruato ordine exceperunt. Sponſam quippe eſſe Eccleſiam, Reginas regias illas ante diluuium animas, Deo acceptas, eos nempe qui cum Abelo, Setho, & Enocho

μία ἐστὶ μόνη ἐκλεκτὴ, καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτοῖς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων. Ἐὰν δέ τῳ περὶ τούτων ἀμφισβήτησις, ἢ ὡς οὐδέπω τῶν κεφαλαίων ἱκανῶς ἐπεξειργασμένων, καὶ ἔτι βούλοιτο κατ' ἀναγωγὴν πνευματικὴν διαρθρωθῆναι πληρέστερον, τίνες εἰσὶν αἱ βασίλισσαι, καὶ αἱ παλλακαὶ, καὶ αἱ νεάνιδες, λέξομεν, δύνασθαι ταῦτα λελαλῆσθαι καὶ ἐπὶ τῶν ἀπ' ἀρχῆς κατὰ πρόβασιν χρόνων ἐν δικαιοσύνῃ διαπρεψάντων, οἷον τῶν πρὸ τοῦ κατακλυσμοῦ, καὶ τῶν μετὰ τὸν κατακλυσμὸν, καὶ τῶν ἀπὸ τοῦ Χριστοῦ καθεξῆς. Εἶναι γὰρ νύμφην μὲν τὴν Ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχὰς, εὐαρέστους τῷ Θεῷ γεγενημένας. τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ, καὶ

poſt

τὸν Σὴθ, καὶ τὸν Ἐνὼχ, παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν Προφητῶν, ἃς περὶ τοῦ τὴν Ἐκκλησίαν ἁρμοσθῆναι τῷ Κυρίῳ, παλλακίδων δίκην συγγινόμενος, ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόρῳ καὶ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννῶσιν αὐτῷ, συλλαβοῦσαι πίστιν, πνεῦμα σωτηρίας. Τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψυχαὶ ἀείμνηστον φέροντα κάλλος, ὁπόσαις ἂν ὁ Χριστὸς συναρακραθῇ. Εἰ γὰρ βούλεσθε εἰς Μωσέως ἀποβλέψαι τὰς βίβλους, ἢ Δαυὶδ, ἢ Σολομῶντος, ἢ Ἠσαΐου, ἢ τῶν καθεξῆς Προφητῶν, ὦ Παρθένοι, εἴσεσθε οἷα καταλελοίπασιν αὐτῶν ἔκγονα, τῷ βίῳ σωτήρια, διὰ τὴν πρὸς τὸν υἱὸν τοῦ Θεοῦ κοινωνίαν. Ὅθεν

fuere. Concubinas, quæ poſt diluuium, Prophetarum, quibus cum, antequam efformaretur Eccleſia, Dominus æque atque cum concubinis congreſſus, veros ſeminauit ſermones in incorrupta ac pura philoſophia, vt ſibi concipientes fidem, ſpiritum ſalutis progenerarent. ſimilia nanque virgulta perpetuo celebrandam pulchritudinẽ præſeferentia procreant animæ, quibus cũ Chriſtus congreditur. Nam ſi in Moyſis, aut Dauidis, aut Salomonis aut Eſaiæ, aut aliorum ſubſequentium Prophetarum libros animum aduertere volueritis, o Virgines, percipietis, quæ ipſi germina vitæ ſalutaria ob comunicationem cum Dei filio reliquerint. Hinc circumſpecte, ac conſiderate

rate Prophetarum animas concubinas Verbũ appellauit, quod non palam eas ipſe, quemadmodum Eccleſiam, vitulo ſaginato illius cauſa ſacrificato, ſibi conciliauit. Præ iam dictis dubitandum eſt, ne quid ex neceſſarijs nos effugiat, quamobrem Reginas ſexaginta dicit eſſe, concubinas octoginta, adoleſcentulas, quarum ne numerus quidem propter multitudinem putetur, ſponſam autem vnam? Et primum quidem de ſexaginta ediſſerendum eſt. Sexaginta reginas hinc, vt opinor, eos qui a primo condito homine ad Noë ſucceſſiue Deo complacuerunt, nuncupauit. Quod hi aliarũ adhortationum, & legum, vt ſaluari poſſent non indigebant, cum

τεθεωρημένως παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς Προφητικὰς ὁ Λόγος, ὅτι μὴ φανερῶς αὐτὰς [illegible], ὥσπερ δὴ καὶ τὴν Ἐκκλησίαν προσεπηγάγετο, θύσας δι' αὐτὴν τὸν μόσχον τὸν σιτευτόν. Ἐπαπορητέον δὲ καὶ τοῦτο πρὸς τούτοις, ἵνα μηδὲν ἡμᾶς τῶν ἀναγκαίων διαδρᾶναι δυνηθῇ. Τί δήποτε τὰς μὲν βασιλίσσας ἑξήκοντα εἶναι λέγει, τὰς δὲ παλλακὰς ὀγδοήκοντα, τὰς δὲ νεάνιδας τοσαύτας, ὅσας μηδὲ ἀριθμεῖσθαι διὰ τὸ πλῆθος· τὴν δὲ νύμφην μίαν. Καὶ πρῶτον περὶ τῶν ἑξήκοντα λεκτέον. Ἑξήκοντα βασιλίσσας ἐντεῦθεν ὡς οἶμαι δὴ τοὺς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐαρεστήσαντας ἐκάλεσε τῷ Θεῷ. ἐπειδήπερ ἑτέρων ἔτι παραγγελμάτων, καὶ θεσμῶν

eſſet

εἰς τὸ σωθῆναι χρείαν οὐκ ἐσχήκασιν, ἔτι προσφάτε τῆς κατὰ τὴν ἑξαήμερον οὔσης αὐτοῖς τοῦ κόσμου συστάσεως. ἐμέμνηντο γὰρ, ὅπως ἐν ἓξ ἡμέραις ὁ Θεὸς ἐτεκτήνατο τὴν κτίσιν, τά τε ἐν τῷ παραδείσῳ γεγονότα, καὶ πῶς ὁ ἄνθρωπος ἐντολὴν ἔχων, μὴ ἅψασθαι τοῦ φυτοῦ, τῆς φρονήσεως ἐξώκειλεν, ἀποβουκολήσαντος αὐτὸν τῆς κακίας τοῦ σοφιστοῦ. Ἐντεῦθεν οὖν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ διαδοχὴν τὸν Θεὸν ποθεῖν ἑλομένας ψυχὰς, καὶ σχεδὸν, εἰ χρὴ φάναι, τοῦ πρώτου αἰῶνος οὔσας ἔκγονα, καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου, ἑξήκοντα βασιλίσσας εἶπε συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον εὐθέως, ὡς ἔφην, γεγονέναι. μεγάλην γὰρ ἐσχήκασιν οὗτοι τιμὴν, Ἀγγέλοις ὁμιλή-

eſſet adhuc recens, quę ſex diebus mundi conſtitutio peracta eſt. Nanque recordabantur, quomodo Deus ſex diebus creaturam omnẽ fabrefecerat, & quæ in Paradiſo patrata fuerant, & quanam ratione, cum homini mandatum eſſet, ne tangeret plantam, extra mentem ille delapſus, a Sophiſta improbitatis ſeductus eſt. Hinc igitur, quæ ſtatim a mundi conſtitutione ſucceſſiue Deum concupiuere, animas, & fere, ſi ita plane loquendum eſt, primi ſeculi fœtus, & magnæ axabemeri proximas, ſexaginta Reginas figurate vocauit, quod poſt ſex illos dies ſtatim, vt dictum eſt, procreatæ magno honore ditatæ ſunt, tanquam quæ cum Angelis conſue-

ſueuere, & Deum vigilantes, non ſomniantes ſæpenumero conſpexere. Agitate porro animis, quantam confidentiam cum Deo loquendi Sethus habuit, quantam Abelus, quantam Enochus, quantã Mathuſala, quantam Noë, primi iuſtitiæ amatores, & primogenitorum filiorum deſcriptorum in regno cœlorum, qui veluti primitiæ eorum, qui plantantur in ſalutem, præcox Deo fructus pullularunt. Et de his ſatis. Sed de concubinis rurſus ſermo inferendus eſt. Ab ijs, qui poſt diluuium vitã traducebant, de Deo cognitio longius aberat, & cum iam Idolorum cultus irrepere inciperet, doctrina alia indigebant, quæ illis auxilio rurſus eſſet, & mala auerteret. Deus itaque

ζαντες, καὶ τὸν Θεὸν ὕπαρ οὐκ ὄναρ πολλάκι θεασάμενοι. Ἐπισκέψασθε γὰρ, ὅσην ἔχε παῤῥησίαν ὁ Σὴθ πρὸς τὸν Θεὸν, ὅσην Ἄβελ, ὅσην ὁ Ἐνὼχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε, πρῶτοι δικαιοσύνης γεγονότες ἐρασταὶ, καὶ πρῶτοι τῶν πρωτοτόκων τέκνων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, τῆς βασιλείας ὥσπερ ἀπαρχή τις τῶν φυτευομένων εἰς σωτηρίαν, πρώϊμος τῷ Θεῷ βλαστήσαντες καρπός. Καὶ περὶ μὲν τούτων αὐτάρκως. Περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον. Τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἦν τοῦ Θεοῦ, καὶ ἔχρῃζον ἑτέρας διδαχῆς, ἑρπούσης ἤδη τῆς εἰδωλολατρείας, ἥτις αὐτοῖς αὖθις ἀλεξίκακος ἔσοιτο καὶ βοηθός. Ὁ οὖν Θεὸς

ἵνα μὴ πάντη τὸ γένος τῶν ἀνθρώπων ἀϊστωθῇ λήθῃ τῶν καλῶν, τὸν ἴδιον παῖδα τοῖς Προφήταις ἐκέλευσεν ἀπηχῆσαι, τὴν ἐσομένην ἑαυτοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν βίον, δι' οὗ τῆς ἀληθείας ἡ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρτημάτων οὖσα, καὶ ἀναστάσεως παρεκτική. περιτμηθήσεσθαι γὰρ δι' αὐτῆς τῶν ἀνθρώπων τὰ πάθη, καὶ τὴν φθοράν, καὶ διὰ τοῦτο τὸν κατάλογον τὸν ἀπὸ τοῦ Ἀβραὰμ Προφητῶν διὰ τὴν τῆς περιτομῆς πρεσβείαν τὸν ὀκτὼ περιεχούσης ἀριθμόν, ἧς ἐξήρτηται καὶ ὁ νόμος, ὀγδοήκοντα παλλακὰς ἐκάλεσεν. ὅτι πρῶτοι πρὶν τὴν νύμφην τὴν Ἐκκλησίαν καθεγγυηθῆναι τῷ Λόγῳ, τὰ θεῖα συλλαβόντες σπέρματα, τῆς νοητῆς περιεξήγγελλαν ὀγδοάδος

que, ne genus humanum obliuione bonorum prorſus euerteretur, mandauit proprio filio, vt Prophetis intonaret futurum ſui ipſius per carnem in mundum aduentum. per quem veritatis cognitio prædicaretur, quæ eſſet peccatorum remiſſio, & reſurrectionem elargiretur: per illam enim humanæ affectiones, & corruptio circũcidendæ erant. Proptereaque ab Abraam Prophetarum catalogũ, propter circumciſionis dignitatem octonarium numerum continentem, a quo lex pendet, octoginta concubinas appellauit: quod primi antequam ſponſa Eccleſia Verbo deſponſaretur, diuinis conceptis ſeminibus cirsumciſionem intel-

intellectualis Ogdoadis prænunciarunt. Adoleſcentulas rurſum, numero non comprehēſas, multitudinem, quæ ſub Iudicibus iuſtitiam conſectata, iuuenum more ac generoſe aduerſus peccatum decertauerat, nominauit. Verum horum omnium neque Reginæ, neque concubinæ, neque adoleſcentulæ ad Eccleſiã comparantur. Perfecta etenim atque electa inter omnes alias reputatur, quæ ex omnibus conſtituta, & Apoſtolis conglutinata, ſponſa, pulchritudine vigoris, & Virginitatis reliquas ſuperauit: ideoq; ante alias prædicatur, & laudatur, quod viderit, & audiuerit affluenter, quæ illæ concupiuere vel breuiſſimo tempore conſpicere, & non viderunt,

τὴν προειρημένην. Νεάνιδας δὲ πάλιν εἰς ἀρίθμητον συντελούσας ὅμιλον, τὰ ὑπὸ τοῖς Κριταῖς δικαιοπραγήσαντα πλήθη, καὶ νεανικῶς, καὶ γενναίως διαθλήσαντα πρὸς τὴν ἁμαρτίαν καλεῖ. Ἀλλὰ τούτων οὔθ' αἱ βασίλισσαι, οὔθ' αἱ παλλακαὶ, οὔθ' αἱ νεάνιδες συγκρίνονται τῇ Ἐκκλησίᾳ. ἡ γὰρ τελεία καὶ ἐκλεκτὴ παρὰ πάσας νομιζομένη αὐτὰς, ἡ ἐκ πάντων συνεστῶσα τε, καὶ συνημμένη τῶν Ἀποστόλων ἐστὶν, ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς, καὶ τῆς παρθενίας πάσας. διὸ καὶ μακαρίζεται, καὶ αἰνεῖται τῶν ἄλλων. ὅτι καὶ αὕτη, καὶ εἶδε καὶ ἤκουσεν ἀφθόνως, ἃ ἐκεῖναι ἰδεῖν ἐπεπόθησαν, κἂν ἐκ βραχέως θεάσασθαι, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι καὶ οὐκ

ἤκουσαν, Μακάριοι γάρ, φησιν, οἱ ὀφθαλμοὶ ὑμῶν, ὁ Κύριος τοῖς μαθηταῖς, οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ Προφῆται ἐπεθύμησαν εἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Οὐκοῦν διὰ ταῦτα μακαρίζουσι ταύτην οἱ Προφῆται, καὶ θαυμάζουσιν, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἀκροαταὶ γενέσθαι, καὶ θεάμονες, ἡ Ἐκκλησία κατηξιώθη, καὶ μετείληφεν. Ἑξήκοντα γάρ εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμὸς, μία ἐστὶν ἡ περιστερά μου, τελεία μου. Δυνήσεται δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον τοῦ Κυ-

runt, & audire, & non audiuerunt. [a] Beati enim ſunt, *ait Dominus Diſcipulis*, qui vident quæ vos videtis. Dico enim vobis, quod multi Prophetæ optauerunt videre, quæ vos videtis, & non viderunt, & audire quæ auditis, & non audierunt. *Propter hæc igitur beatam dicunt illam Prophetæ, & admiratione proſequuntur quod quorum ipſi auditores eſſe & ſpectatores non potuere, eorum Eccleſia dignata, particeps effecta eſt*. Sexaginta *enim* ſunt Reginæ, & octoginta concubinæ & adoleſcentulæ quarum numerus non eſt, vna eſt columba mea, perfecta mea. *Poterit item aliter quiſpiam ſponſam carnem Chriſti impollutam in-*

a Luc. 10. 24.

telligere, cuius gratia relicto Patre huc proceſſit, & conglutinatus eſt, & in ea homine aſſumpto inhabitauit. Ideoque eam figurate columbam appellauit. Quandoquidem manſuetum animal, & hominibus contubernale, hominum familiaritati ſeſe applicat, & neceſſitudinem non refugit: ſola enim, vt verbo expediam, immaculata, atque impolluta inuenta eſt, & iuſtitiæ ornatu ac decore palmam ante alios referens: adeo vt nemo eorum, etiam qui quã maxime atque abſolutiſſime Deo complacuere, prope illam, ſi virtutis comparatio fiat, pedem ſiſtere potuerit: propterea que digna reputata principatus Vnigeniti, ipſi adaptata, atque coniuncta, fieri particeps. Et quadrageſi.

εἴη, ἧς χάριν καταλείψας τὸν πατέρα κατῆλθεν ἐνταῦθα, καὶ προσεκολλήθη, καὶ ἐγκατεσκήνωσεν ἐνανθρωπήσας εἰς αὐτήν. Διὸ δὴ καὶ περιστερὰν αὐτὴν ἐκάλεσε τροπικῶς, ἐπειδὴ τιθασσὸν τὸ ζῶον, καὶ ὑπωρόφιον, καὶ διαίτῃ τῇ μετ' ἀνθρώπων ἐνασμενίζον. Μόνη γὰρ, ὡς ἔπος εἰπεῖν, ἄσπιλος, καὶ ἀμόλυντος εὑρέθη, καὶ πάντας ὑπερέχουσα πρὸς τῆς δικαιοσύνης κόσμῳ καὶ κάλλει. ὥστε μηδένα καὶ τῶν εἰς ἄκρον εὐαρεστησάντων πρὸς Θεὸν ταύτης δυνηθῆναι πέλας ὡς πρὸς σύγκρισιν ἀρετῆς στῆναι. καὶ διὰ τοῦτο κατηξιώθη κοινωνὸν αὐτὴν γενέσθαι τῆς βασιλείας τοῦ μονογενοῦς, αὐτῷ καθηρμοσμένην τε, καὶ ἑνωθεῖσαν. Καὶ ἐν τῷ

τεσσαρακοστῷ δὲ καὶ τετάρτῳ Ψαλμῷ, ἡ ἐκ τῶν πλειόνων, καὶ δεξιῶν παρεισαμένη βασίλισσα τοῦ Θεοῦ μερῶν, ἡ τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλλους ὁ Βασιλεὺς· ἡ σάρξ ἐστιν, ὡς ἔφην, ἡ ἄχραντος ἐκείνη καὶ μακαρία, ἣν αὐτὸς ἀνακομίσας ὁ Λόγος εἰς οὐρανοὺς ἐκ δεξιῶν παρέστησε τοῦ πατρὸς ἐν ἱματισμῷ διαχρύσῳ κεκοσμημένην. ὃ δή ἐστι τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας, ἃ συμβολικῶς ἔφησε χρυσᾶ κροσσωτά. ἐπειδήπερ ἐκ ποικίλων ποικίλλεται τοῦτο, καὶ συγκαθυφαίνεται κατορθωμάτων, τὸ ἔνδυμα, οἷον ἁγνείας, φρονήσεως, πίστεως, ἀγάπης, ὑπομονῆς, καὶ τῶν λοιπῶν ἀγαθῶν. ἃ δὴ κατακαλύπτοντα τὴν ἀσχημοσύνην τῆς σαρκὸς κοσμοῦσι τὸν ἄνθρωπον

geſimo quarto Pſalmo, Regina inter plurimas alias dextris Dei partibus aſtantes deaurato virtutis veſtitu exornata, cuius pulchritudinem Rex concupiuit, caro illa eſt, vt iam ſignificaui, immaculata, atq; beata, quam verbum in cælum reportans a dextris Patris collocauit, veſtitu deaurato decoram, hoc eſt incorruptibilitatis facinoribus figurate vocatis aureis fimbrijs. Quoniam ex diuerſis variatur, & contexitur hic veſtitus probis actionibus caſtimoniæ ſcilicet, prudentiæ, fidei, dilectionis, tolerantiæ & aliorum bonorum, quæ deformitatem, ac prauitatem carnis tegentia, ornatu aureo hominem exornant. Quod porro pro-

pterea Pſalmi verbis ſubſequentibus, poſtquã homo a Verbo aſſumptus, in dextris omnipotentis collocatus eſt, ſpiritus tradit, nunc conſiderandum eſt. [a] Adducentur, *inquit*, Regi Virgines poſt eam. Virgines illius afferentur tibi. afferentur in lætitia, & exultatione. adducentur in templum Regis. *Hic plane quã apertiſſime ſpiritus videtur poſt ſponſam caſtimoniam laudibus, vt expoſuimus, extollere, cum Dominus ſecundas Virginibus partes apud omnipotentem in lætitia, & exultatione tribuat, quæ ab Angelis auxiliarijs comitantibus conſtipatæ deducuntur. Tantundem deſiderabilis accedit, &*

κόσμῳ χρυσῷ. Ἔπειτα τὶ δὴ πάλιν καὶ ἐν τοῖς ἑξῆς τοῦ Ψαλμοῦ μετὰ τὸ, τὸν ἄνθρωπον ἐκ δεξιῶν ἐνθρονισθῆναι τοῦ παντοκράτορος, ὃν ἀνείληφεν ὁ Λόγος, τὸ πνεῦμα παραδίδωσι, νῦν σκεπτέον. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι, φησὶν, ὀπίσω αὐτῆς. αἱ παρθένοι αὐτῆς ἀπενεχθήσονταί σοι. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ, καὶ ἀγαλλιάσει. ἀχθήσονται εἰς ναὸν βασιλέως. Πάνυ περιφανῶς ἐνθάδε λοιπὸν ἔοικεν ἐγκωμιάζειν τὸ Πνεῦμα τὴν ἁγνείαν μετὰ τὴν νύμφην, ὡς ἀποδεδώκαμεν. τοῦ Κυρίου δευτέρας προσνεῖμαι τῷ παντοκράτορι, ἐν ἀγαλλιάσει, καὶ εὐφροσύνῃ τὰς παρθένους ἐπαγαλλόμενον, ὑπ᾽ Ἀγγέλων δορυφορουμένας τε, καὶ παραπεμπομένας. Τοσοῦτον ἐπέραστόν τι τὸ τῆς ὡραι-

a Pſal. 44. 15.

παρθενίας ἐστὶν, καὶ περιπόθητον κλέος. ὥστε ὁ πίσω τῆς βασιλίσσης, ἣν ἀνήγαγεν ὁ Κύριος ἀναμάρτητον ἀποτορνεύσας τῷ πνεύματι τὸν χορὸν τῶν παρθένων, καὶ τὸ τάγμα προσκομίζεσθαι, τὰ δευτερεῖα τῆς νύμφης κεκληρωμένην. Ταῦτά σοι καὶ παρ' ὑμῶν, ὦ Ἀρετὴ, τὰ γυμνάσματα τῶν λόγων ὑπὲρ ἁγνείας ἐστηλιτεύσθω. Εἰπούσης δὲ ταῦτα τῆς Προκίλλης, ἐμὸς ὁ κλῆρος, ἡ Θέκλα ἔφη, μετὰ ταύτην ἐφεξῆς ἀγωνίζεσθαι. καὶ χαίρω ξυνέμπορον ἔχουσα κἀγὼ τὴν σοφίαν τῶν λόγων, αἰσθανομένη κιθάρας δίκην ἔσωθεν ἁρμοζομένην με, καὶ παρασκευάζουσαν εἰς τὸ, μεμελημένως εἰπεῖν, καὶ εὐσχημόνως. ΑΡΕΤΗ. Ἄριστα, ὦ Θέκλα, τὴν

optatiſſima eſt Virginitatis gloria, vt poſt Reginam, quam Dominus adduxit, ab omni peccato immunem ſpiritu conſeruatam, & expolitam, cœtus virginum & cohors, vna excepta ſponſa, ſecundas partes adipiſcatur. Hæc tibi, o Virtus, a nobis etiam ſermonum exercitamenta pro Caſtimonia veluti in columna ſculpta ſint. Cum tacuiſſet Procilla, Meæ ſunt partes, Thecla ſubnexuit, poſt hanc, ne ordo interturbetur, certamen dicendi ſubire. Et gaudeo, cum vna mecum comitem habeam ſermonum ſapientiam, & iam eam perſentiſcam in præcordijs citharæ inſtar me accommodantem, vt meditate, &, vti par eſt, ſermonem inſtituam. VIRTVS. Acceſſit mihi, o Thecla,

cla,

cla, gratiſſimum ſtudium tuum, atque alacritas, & quam firmiſſime teneo, te verba propoſitam materiam exæquantia, pro facultate, qua prædita es, facturam. Nam & doctrinarum omnium humaniorū diſciplina, & eruditione nemini cedis. De Euangelica vero, ac diuina, cum a Paulo fueris inſtructa, non habeo equidem quod dicam.

προθυμίαν εἰσεδεξάμην, καὶ πιστεύω εἰς δύναμιν πρέποντας ἀποδοῦναι σέ μοι τοὺς λόγους. φιλοσοφίας τε γὰρ τῆς ἐγκυκλίου, καὶ παιδείας οὐδενὸς ὑστερήσεις. τῆς Εὐαγγελικῆς τε αὖ, καὶ θείας, τί χρὴ καὶ λέγειν, παρὰ Παύλῳ σεσοφισμένην;

THECLA

Exordiamur igitur ſermonem, ab ipſa compellatione ſumentes initium: Quā ob cauſam excelſiſſimū hoc ac beatiſſimum facinus ſibi Virginitatis nomen vendicet, & quale ſit, & qua facultate polleat, & quos tandem fructus producat. Nanque viden-

ΘΕΚΛΑ.

Οὐκοῦν λέγωμεν δὴ, πρέπον αὐτόθεν ἀπ᾽ ἀρχῆς ἀπαρξάμεναι, τῆς ἐπωνυμίας, δι᾽ ἣν αἰτίαν ἐκλήθη παρθενία, τοῦτο τὸ κορυφαιότατον, καὶ μακάριον ἐπιτήδευμα, οἷόν τε ὂν τυγχάνει, καὶ δύναμιν ἣν ἔχει, καὶ εἰς ὕστερον ὁποίους καρποὺς ἀποτελεῖ. κινδυνεύουσι γὰρ ὀλίγου ξύμπαντες αὐτὴν ἠγνοη-

κένῃ, καὶ μυρίων διαφέρουσαν τῶν ἄλλων τῆς Ἀρετῆς πλεονεκτημάτων, ὁπόσα εἰς κάθαρσιν, καὶ κόσμον διαπονούμεθα ψυχῆς. Παρθεία γὰρ ἡ παρθενία κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχοντα, καὶ τετελεσμένον αὐτῆς ταῖς ἀφθόροις τελεταῖς Θεῷ παρεικάζουσα, οὗ μεῖζον ἀγαθὸν ἀδύνατον εὑρεῖν, ἡδονῆς καὶ λύπης ἀπῳκισμένον, καὶ τὸ τῆς ψυχῆς κατορθούμενον ἀληθῶς, αὔξεταί τε καὶ κουφίζεται πτέρωμα τῶν αἰθεριπίνων ἐξίπτασθαι καθ᾽ ἡμέραν ἐθιζόμενον σπουδασμάτων. Ἐπειδὴ γὰρ πανήγυριν τὸν βίον ἡμῶν εἶναι σοφῶν παῖδες εἰρήκασιν, ἡμᾶς δὲ τὸ δρᾶμα τῆς ἀληθείας τὴν διηγουμένην ἥκειν ὡς εἰς

tur hæc fere ab omnibus ignorari. Eſt ſiquidem innumeris alijs, quæ ex virtute ſunt, recte ad expurgationem & cultum animæ a nobis excogitatis multo ſuperius. παρθεία *Dei* vicinitas, *vel* Dei proximitas *una elementi eiectione* παρθενία *Vir*ginitas *nominatur, tanquam quæ ſola, ſui poſſeſſorem, & incorruptis ſui ſacris initiatum Deo aſſimilet, quo præſtantius bonum inuenire non poteris, a lætitia & mœrore longe diſſitum, & quo alæ animæ irroratæ accreſcunt, & ſingulis diebus aſſueſcentes ſubleuantur, & ab humanis ſtudijs ſeſe eximentes altius euolant. Cum vero publicam celebritatem eſſe vitam noſtram ſapientia onuſta pectora tradiderint: & nos veritatis actionem,*

iuſti-

iuſtitiam nempe veluti in Theatro oſtentare, procedamus, dum in arte æmuli ſeſe opponunt, nobiſcum concertantes Diabolus ac Dæmones, opus eſt, ſupra erectis oculis & volatu celeri in ſublimia ferri, necnon ſuauis eorum vocis illices ſonos, figuraſq; parte ſui extima caſtimoniæ imagine venenatas effugere, potius quam Sirenas Homericas. Multi quippe ex ijs, qui in hanc vitam veniunt, erroris voluptatibus deliniti, alas amittunt, debilitatis laxatiſq; viribus, quibus caſtitatis alarum natura confirmatur ſuſtollens quæ infra circa corporum repunt corruptionem. Hinc, o Virtus, ἀρετὴ, *ſiue quod te ipſam, ſiue quod animas ſubleues,*

θέατρον ἐπιδειξομένους ἀντιτεχνούντων ἡμῖν, καὶ ἀνταγωνιζομένων τοῦ Διαβόλου, καὶ τῶν Δαιμόνων, ἀναδύοντας ἄνω δεῖ καὶ ἀνιπταμένους, μετεωρίζεσθαι, καὶ φεύγειν τὰ θέλγητρα τῆς καλλιφωνίας αὐτῶν, καὶ τὰ σχήματα ἔξωθεν, φαντασίᾳ σωφροσύνης ἐπικεχρωσμένα, ἢ τὰς σειρῆνας μᾶλλον τὰς Ὁμηρικάς. κηλούμενοι γὰρ ταῖς ἡδοναῖς τῆς πλάνης, πτερορρυοῦσι, καὶ βαρύνονται πολλοὶ τῶν εἰς τὸν καθ' ἡμᾶς ἥκοντες βίον χαυνωθέντων αὐτοῖς, καὶ χαλασθέντων τῶν τόνων, καθ' οὓς ἡ τῶν πτερῶν τῆς σωφροσύνης συγκρατεῖται φύσις, κουφίζουσα τὰ κάτω νεύοντα περὶ τὴν φθορὰν τῶν σωμάτων. Ὅθεν, ὦ Ἀρετὴ, εἴτε δι' ἑαυτὴν, εἴτε διὰ τὸ αἴρειν, καὶ μετεωρίζειν πρὸς οὐρανὸν τὰς ψυχὰς, ταύτην ἔσχηκας τὴν ἐπωνυμίαν, ὅτι λαικοτά-

των ἀεὶ βαίνουσα φρενῶν, ἴθι μοι συναντιληψομένη τοῦ λόγου, ὃν αὐτὴ προσέταξας εἰπεῖν. Οἱ γὰρ πτερορρυήσαντες καὶ πεσόντες εἰς τὰς ἡδονὰς, οὐ πρότερον λήγουσι λύπης καὶ πόνων, ἕως ἂν τῇ τοῦ πάθους ἐπιθυμίᾳ τὴν ἀνάγκην ἐκπληρώσαντες τῆς ἀκρασίας, ἀμύητοι, καὶ ἀτελεῖς τοῦ τῆς ἀληθείας ἀπομείνωσι δράματος, ἀντὶ τῆς μετ' αἰδοῦς, καὶ σωφροσύνης παιδοποιήσεως, ἀγρίαις ἐρώτων λυσσήσαντες ἡδοναῖς. αἱ δὲ εὔπτεροι καὶ κοῦφαι εἰς τὸν ὑπερκόσμιον τόπον ὑπερκύψασαι τοῦ βίου, καὶ ἰδοῦσαι μακρόθεν, ἃ μὴ ἕτερος ἀνθρώπων ἐθεάσατο, αὐτοῦ λειμῶνας αὐτοὺς τῆς ἀφθαρσίας ἀμήχανα κάλλη, καὶ ἄνθη φέροντας, καὶ πεπλη-

atque extollas ad cœlũ nomen conſecuta, & ſuper candidiſſimis mentibus continuo gradiens, ageſis adiutrix noſtri ſermonis, quem habere tu præcipis. Qui enim alis deperditis in voluptates concidunt, non prius mœrori ac laboribus finem imponunt, quam turbationis impulſu intemperantiæ vim explentes, neque initiati, neque perfecti in veritatis repræſentatione conſtiterunt, pro liberorum cum verecundia & caſtimonia procreatione, efferatis amorum voluptatibus furiati. Quæ vero alis bene valent, leues in ſupramundana vitæ loca emergentes, & a nemine alio vnquam conſpecta aſpicientes, prata ipſa incorruptibilitatis, decora prorſus inæſtimabilia, & flores, quibus continuo one-

onerantur, fundentia, ſemper in ijs ſunt, ſpectacula illa mente recolentes, propter eaque in ea, quæ hic bona reputantur, diuitias, gloriam & nuptias, non declinantes, nihil eorũ alicuius eſſe momenti exiſtimant. Quinimo, ſi quis beſtijs, vel igni corpora tradere propoſuerit, & tormentis vexare, promtæ ſint, propter dictorum deſiderium & eorumdem admirationem pœnas negligere, vt videantur etiam cum in mundo ſunt, in mundo non eſſe, ſed mente, & deſiderij inflammatione, inter cœtum cœleſtium ciuium, ſubſiſtere. Neque enim poſſunt Virginitatis alæ, ſi earum natura ſpectetur, in terram degrauari, cum ſemper ſurſum in purum aërem, & Angelis

ἐρρυήκυῖαι ἀεὶ πρὸς αὐτοῖς εἰσὶν ἀναπολοῦσαι τὰ ἐκεῖ θεάματα, καὶ διὰ τοῦτο μὴ ῥέπουσαι πρὸς τὰ ἐνταῦθα νομιζόμενα καλά, πλοῦτον, καὶ δόξαν, καὶ γάμους, οὐδέν τι ἐκείνων περὶ πλείονος ποιοῦνται. ὥστε εἴ τις αὐτοῖς θηρίοις, ἢ πυρὶ τὰ σώματα βούλοιτο παραδιδόναι, καὶ τιμωρεῖσθαι, ἑτοίμως ἔχουσι τῶν ἀλγηδόνων ἀφροντιστεῖν, διὰ τὸν ἐκείνων πόθον, καὶ τὴν ἐκείνων ἔκπληξιν. ὥστε δοκεῖν αὐτάς, καὶ ἐν κόσμῳ οὔσας, μὴ εἶναι ἐν κόσμῳ, ἀλλὰ τῷ φρονήματι καὶ τῇ ὁρμῇ τῆς ἐπιθυμίας, εἰς τὴν ἄγυριν ἤδη τῶν ἐν τοῖς οὐρανοῖς τυγχάνειν. οὐ γὰρ θέμις ἐπὶ γῆς βρίθειν κατὰ τὴν ἑαυτοῦ φύσιν τὰ τῆς παρθενίας πτερά, ἀλλ᾽ ἄνω φέρειν εἰς καθαρὸν αἰθέρα, καὶ τὸν τῶν

gelis

Ἀγγέλων γείτονα βίον. Ὅθεν καὶ πρὸ τῶν ἄλλων μετὰ τὴν ἀνάκλησιν, καὶ τὴν ἐντεῦθεν ἐκδημίαν αἱ ὀρθῶς, καὶ πιστῶς παρθενεύσασαι τῷ Χριστῷ τὰ νικητήρια φέρονται τῶν ἄθλων, τοῖς τῆς ἀφθαρσίας ἄνθεσι στεφθεῖσαι παρ᾽ ἑαυτοῦ. ἅμα γὰρ τῷ καταλεῖψαι τὸν κόσμον τὰς ψυχὰς, λόγος ταῖς παρθένοις ὑπαντῶντας Ἀγγέλους μετὰ πολλῆς εὐφημίας εἰς τοὺς προειρημένους παραπέμπειν λειμῶνας αὐτὰς, εἰς οὓς καὶ πρόσθεν ἐλθεῖν ἐγλίχοντο μακρόθεν αὐτοὺς φαντασιωθεῖσαι τότε, ὁπότε ἔτι ἐπενδημοῦσαι τοῖς σώμασιν, ἰνδάλλοντο τὰ θεῖα. Ἐνταῦθα οὖν δὴ ἐλθούσας, θεάσασθαι θαυμαστά τινα, καὶ ἐκλάμποντα, καὶ μακάρια κάλλη, καὶ ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές. Ἔστι γὰρ αὐτὴν δικαιοσύ-

gelis vitam vicinam agantur. Hinc & ante alias poſt vocationem, & ex hac vita exitum, fideles Chriſto Virginitatis conſeruatrices, ab eodem incorruptibilitatis floribus redimitæ victoriæ, præmia referunt. ſimul enim atq; mundum animæ deſeruerint, dicitur, Virginibus Angelos obuiam factos non ſine laudum ingenti præconio in prædicta prata deducere, in quæ antea peruenire appetebant, procul illa imaginatione complexæ, tum cum adhuc in corporibus degentes, res diuinas ſibi repræſentabant. Eo itaque vbi peruenerint, admirabilia quædam & ſplendida, & beata decora, & quæ hominibus verbo exprimere per quam difficile eſt, intueri. Eſſe

enim

enim ibidem loci ipſam iuſtitiam, & ipſam prudentiam, & ipſam dilectionem, & veritatem, & caſtitatem, & reliqua omnia ſimiliter, præclariſſimos ſapientiæ flores, & plãtas, quorum nos hic vmbras tantum modo imaginatione confictas ſomniantes, ex humanis actionibus conſiſtere opinamur, quod nullũ ſit eorum hic ſimulacrum clarum, ſed figuræ ſolum obſcuræ & ſpecies, quas etiam ſæpius ſuboſcure nos effingentes intelligimus. Nemo enim vnquam aut iuſtitiæ, aut prudentiæ, aut pacis, magnitudinem aut figurã, aut pulchitudinem oculis vſurpauit. ibi autẽ in ipſa veritate, vtvt ſunt, integra conſpiciuntur, & aperta. Nanque eſt arbor quædam ipſius caſtimoniæ, eſt dile-

νην, καὶ αὐτὴν σωφροσύνην, ἀγάπην αὐτὴν ἐκεῖ, καὶ ἀλήθειαν, καὶ φρόνησιν, καὶ τὰ ἄλλα ὡσαύτως ἐπιφανῆ τῆς σοφίας ἄνθη, καὶ φυτὰ, ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνας φασματώδεις ὀνειρώσσοντες, ἀπὸ τῶν πράξεων ἡγούμεθα τῶν ἀνθρωπίνων συνίστασθαι, ὅτι μή ἐστιν αὐτῶν δεῦρο μηδὲν εἴδωλον καταφανὲς, ἀλλ' ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ αὐτὰ σκοτεινῶς πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. Οὐ γὰρ ἄν πώποτε δικαιοσύνης αὐτῆς, ἢ συνέσεως, ἢ εἰρήνης ὀφθαλμοῖς ἐθεάσατό τις, ἢ σχῆμα, ἢ κάλλος. ἐκεῖ δὲ ἐν τῷ ὄντι ὡς εἰσὶν ὁλοτελῆ βλέποντες, καὶ σαφῆ. ἔστι γὰρ δένδρον τι σωφροσύνης αὐτῆς, ἔστι ἀγάπης, ἔστι

ἀληθείας. ἔστι δικαιοσύνης, ὥσπερ καὶ τῶν ἐνθάδε τὰ φυτὰ καρπῶν, οἷον σταφυλῆς, ἢ ῥόας, ἢ μήλων. οὕτω δὴ κἀκείνων βλέπεσθαι μὲν, καὶ ἔδεσθαι τοὺς καρποὺς, οὐ μὴν ἀπόλλυσθαι, καὶ φθίνειν, ἀλλ' εἰς ἀθανασίαν αὔξειν, καὶ θειότητα, καὶ τοὺς δρεπομένους καθὼς κἀκεῖνος, ἐξ οὗ πάντες ἐσμὲν, πρὸ τοῦ παραπεσεῖν καὶ πηρωθῆναι τὰς ὄψεις, ἐν τῷ παραδείσῳ τυγχάνων ἀπεκαρποῦτο, τοῦ Θεοῦ θεμιστεύοντος, τὸν ἄνθρωπον τὸν τῆς σοφίας ἐργάτην τεθῆναι καὶ φύλακα φυτῶν. τοιούτους γὰρ τοὺς καρποὺς πεπιστευμένος γεωργεῖν καὶ ὁ πρῶτος Ἀδάμ. Καὶ ὁ Ἱερεμίας γὰρ ταῦτα τυγχάνειν ἰδικῶς ἔν τινι τόπῳ, καὶ ἀφεστῶτι μεγάλην ἀπόστασιν τῆς

dilectionis, eſt veritatis, eſt iuſtitiæ, & quẽadmodum hic plantæ & fructus enaſcuntur, veluti vuæ, granati, malorum, pari modo & illarum conſpiciuntur quidem, atque eduntur fructus, ſed non intermorientes, neque contabeſcentes, ſed in immortalitatem, & diuinitatem augeſcentes, qui tamen decerpantur. quemadmodum & ille, ex quo omnes originem ducimus, antequam delapſus, oculis læderetur, in Paradiſo immorans colligebat, Deo legem ferente, hominem ſapientiæ operatorem, & plantarum cuſtodem conſtitui. Similium enim fructuum cultus primo Adamo concreditus fuerat. Hæc enimvero & Ieremias quodam in loco, & quamlongiſſime ab hoc noſtro terrarum

orbe diſſito proprie exiſtere nouit, vbi, qui a ſempiternis bonis deciderunt commiſerans, effatur; [a] Diſcite vbi ſit prudentia, ubi ſit robur, vbi ſit intellectus, vt ſciatis ſimul, vbi ſit longiturnitas vitæ, & victus, vbi ſit lumen oculorum, & pax. Quis inuenit locum eius? & quis intrauit in Theſauros eius? *In harum itaq; Theſauros introgreſſæ Virgines, virtutes demetere dicuntur compoſitis luminibus, ÿsq; multis irroratæ quæ illis fontis inſtar Deus eructat, & ſeculum illud inextinctis luminibus colluſtrat. ipſæ vero concinne Deum venerantes, choreas ducunt. Nanque circa eas aër puriſſimus, & non in ſole obequitans*

καθ' ἡμᾶς οἰκουμένης οἶδεν, ἔνθα τοὺς ἐξολισθήσαντας τῶν αἰωνίων ἀγαθῶν κατοικτίζων λέγει· Μάθετε, ποῦ ἐστὶ φρόνησις, ποῦ ἐστὶν ἰσχὺς, ἡ σύνεσις, τοῦ γνῶναι ἅμα· ποῦ ἐστὶ μακροβίωσις, καὶ ζωή. ποῦ ἐστὶ φῶς ὀφθαλμῶν, καὶ εἰρήνη. τίς εὗρε τὸν τόπον αὐτῆς; καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῆς; Τούτων οὖν δηθούσας εἰς τοὺς θησαυροὺς ἀποκαρποῦσθαι λόγος τῶν ἀρετῶν τὰς παρθένους ἐντάκτοις φωσὶ, καὶ πολλοῖς καταρδομένας, ἃ δίκην πηγῆς αὐταῖς ὁ Θεὸς ἀνερεύγεται, καταλάμπων ἐκεῖνον τὸν αἰῶνα φωσὶν ἀδύτοις. αἱ δὲ χορεύουσιν ἐμμελῶς γεραίρουσαι τὸν Θεόν. περικέχυται γὰρ αὐταῖς ἀὴρ καθαρὸς, καὶ μὴ καθιππαζό-

tans

[a] Baruch 3. 4.

μενος ἡλίῳ. Νῦν οὖν, ὦ Παρθένοι, σωφροσύνης ἀχράντου θυγατέρες ὑπὲρ ζωῆς ἡμῖν ἀφθόνου, καὶ βασιλείας οὐρανῶν ἡ σπουδή. εἰς τὴν αὐτὴν δόξαν τῆς ἁγνείας καὶ ὑμεῖς προθύμως τῶν πρὸ ὑμῶν συμφρονήσατε, ὀλίγα φροντίσασαι τοῦ βίου. οὐ γὰρ μικρὸν εἰς ῥαστώνην ἀφθαρσία, καὶ ἁγνεία, ἄνω φέρουσα, καὶ πρὸς ὕψος αἴρουσα, καὶ τὸ κάθυγρον ἀναξηραίνουσα, καὶ πηλῶδες βάρος, ὁλκῇ μείζονι. μηδὲ βριθέτω τῆς ἀκοῆς ὁ ῥύπος ῥέπων εἰς τὴν γῆν. μὴ δὲ μετακοσμείτω λύπη τὴν χαρὰν, ἐκτήκουσα τὰς ἐπὶ τοῖς κρείττοσιν ἐλπίδας. ἀλλὰ εὐψύχως ἀποσείεσθε τὰς ἐπισυμβαινούσας ὑμῖν συμφορὰς, μὴ θολοῦσαι γόοις

tans diffunditur. Nunc ergo, o Virgines, caſtimoniæ immaculatæ filiæ, cum vobis pro vita larga atque opipara & cœlorum regno ſtudium & contentio eſt, in eandem caſtitatis gloriam vos quoque contendentes peruenire cum ijs, quæ ante vos hoc idem agitarunt concorditer, vitam hancce parum accurate. Neque enim ad ſtatum rebus ſecundis florentē conſequendum incorruptibilitas & caſtitas, ſurſum carnem extollens, & humiditatem ipſius exiccans, & grauitatem luteam tractu maiori moderans, parum conducit. Ne ſordes aurium in terram nutantes deprimant: neque lætitiam mœror, conatus in meliora tendentes tabeſcere faciens inuertat: verum fortiter incidentes vobis calamitates, eiulatibus

mentem haud turbantes excutite. Fides nanque locis in omnibus proculdubio præponderet, lumenque illius, quæ ad partus improbi hoſtis ſpectra immeant, diſijciat. Sicuti enim, cum luna ſuo lumine clara cœlum ſplendore repleuerit, ſerenuſque vniuerſus aër ariſerit, repente nubes ex occaſus plaga aliqua irrumpentes nigræ, parum ad tempus lumen illius obtenebrant, non tamen prorſus adimunt, ab impetu ventorum illico diſiectæ; pari modo & vos in mundo, caſtitate prælucidæ Virgines vexationibus ac laboribus diuexatæ, ne animum deſpondeatis, neque ſpem abijciatis. Flatu ſiquidem nebulæ aduerſarij diſſoluuntur, ſi vti mater veſtra, quæ generat maſculum

τὸν λογισμόν. Νικάτω γὰρ ἡ πίστις πάντη, καὶ ἀπωθείσθω φῶς τὸ αὐτῆς, τὰ φαινόμενα τοῦ πονηροῦ περὶ τὴν καρδίαν φάσματα. Ὥσπερ γὰρ ὁπόταν ἡ σελήνη τὸν οὐρανὸν αἴγλης ἐκλάμψασα πληρώσῃ, καὶ πᾶς ὁ ἀὴρ αἴθριος γένηται, ἄφνω δὲ νεφέλαι ποθὲν ἐκ δυσμῶν ὑποδραμοῦσαι βάσκανοι πρὸς ὀλίγον τὸ φῶς αὐτῆς ἐπισκιάζουσιν, οὐ μὴν ἀφαιροῦνται, ἅτε εὐθέως τῇ ῥύμῃ τοῦ πνεύματος ἐξωθούμεναι. οὕτω δὴ καὶ ἡμεῖς ἐν τῷ κόσμῳ λάμπουσαι τὴν ἁγνείαν ὑπὸ θλίψεων ὀχληθεῖσαι, καὶ πόνων, ὦ Παρθένοι, μὴ ὀκλάσατε πρὸς τὰς ἐλπίδας. ἐξωθοῦνται γὰρ τῷ πνεύματι τὰ ἐκ τοῦ πονηροῦ νέφη. ἐὰν ὥσπερ ἡ μήτηρ ὑμῶν, καὶ ὑμεῖς ἡ γυνώ-

vir-

σα τὸν ἄρσενα παρθένον
ἐν τῷ οὐρανῷ, μὴ δει-
λιάσητε λοχῶντα, καὶ ἐφε-
δρεύοντα τὸν ὄφιν, περὶ
ἧς ἐγὼ πρὸς ὑμᾶς ἁμη-
γέπῃ διεξελεύσομαι δη-
λοῦσα. καιρὸς γὰρ τὰ νῦν.
Καὶ ὤφθη μέγα σημεῖον
ἐν τῷ οὐρανῷ, τὴν Ἀπο-
κάλυψιν ὁ Ἰωάννης ἐξη-
γούμενος λέγει, γυνὴ πε-
ριβεβλημένη τὸν ἥλιον.
καὶ ἡ σελήνη ὑπὸ κάτω
τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ
τῆς κεφαλῆς αὐτῆς στέ-
φανος ἀστέρων δώδεκα.
καὶ ἐν γαστρὶ ἔχουσα κρά-
ζει ὠδίνουσα, καὶ βασα-
νιζομένη τεκεῖν. καὶ ὤφθη
ἄλλο σημεῖον ἐν τῷ οὐ-
ρανῷ, καὶ ἰδοὺ δράκων
πυῤῥὸς, μέγας, ἔχων κε-
φαλὰς ἑπτὰ καὶ κέρατα
δέκα, καὶ ἐπὶ τὰς κεφα-
λὰς αὐτοῦ ἑπτὰ διαδήμα-
τα, ἡ οὐρὰ αὐτοῦ σύρει τὸ

*virginem in cœlo, vos
quoque ſerpentem in
inſidijs locatum, & in
veſtram calamitatem
oculatum atque ſolici-
tum non timueritis. De
quo nunc ego, vtcun-
que ſermonem habens,
ediſſeram. Nanque
id iam tempus expo-
ſcit.* [a] Et apparuit ſi-
gnum magnum in
cœlo, *Ioannes reue-
lationem ſuam enar-
rans dicit*, Mulier
amicta ſole, & luna
ſub pedibus eius. &
in capite eius corona
ſtellarum duodecim.
& in vtero habens,
clamat parturiens, &
cruciabatur, vt pare-
ret. Et viſum eſt a-
liud ſignum in cœlo,
& ecce Draco ma-
gnus, rufus, habens ca-
pita ſeptem & cornua
decem, & in capitibus eius diademata

 ſep-

a *Apoc.* 12. 1.

ſeptem, & cauda eius trahit tertiam partem ſtellarum, & miſit eas in terram. Et Draco ſtabat ante mulierem quæ erat paritura; vt, cum peperiſſet, filium eius deuoraret. Et peperit filium maſculum, qui recturus eſt omnes gentes in virga ferrea: & raptus eſt filius eius ad Deum, & ad thronũ eius. Et mulier fugit in ſolitudinem, ubi habet locum paratum a Deo, vt ibi paſcant eam diebus mille ducentis ſexaginta. *Et quæ de muliere, & Dracone commemorantur, compendio expoſita finem habent. De eorum vero reſolutione aliquid inuenire, & aliȷs tradere, hoc vero vires noſtras exuperat. Audendum nihilominus eſt mihi, fidem adhibenti*

τρίτον τῶν ἀστέρων, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν. καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς καταφάγῃ. καὶ ἔτεκεν υἱὸν ἄρρενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει τόπον ἡτοιμασμένον ὑπὸ τοῦ Θεοῦ. ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. Καὶ τὰ μὲν οὖν περὶ τῆς γυναικὸς ἱστορούμενα, καὶ τοῦ δράκοντος ὡς ἐν ἐπιτομῇ τέλος ἔχει. περὶ δὲ τοῦ τὴν ἐπίλυσιν αὐτῶν ἀνευρέσθαι, καὶ εἰπεῖν, μεῖζον ἢ καθ' ἡμᾶς. ὅμως τολμητέον, πιστεύσαντα τῷ κελεύ-

illi

ζητεῖν, τὰς γραφὰς ἐρευνᾶν. Εἰ οὖν καὶ σφῷν τὰ λεγόμενα συνδοκεῖ, χαλεπὸν οὐδὲν ἤδη στέλλεσθαι. πάντως γὰρ καὶ συγγνώσεσθε πρὸς τὴν ἀκρίβειαν τῆς γραφῆς, ἐὰν μὴ δυνηθῶ ἐξαρκέσαι. Ἡ ὀφθεῖσα περιβεβλημένη τὸν ἥλιον ἐν τῷ οὐρανῷ γυνὴ, καὶ στέφανον ἐξ ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχεν ἡ σελήνη πρὸς τοῖς ποσὶν, καὶ ὠδίνουσα, καὶ βασανιζομένη τεκεῖν, αὕτη ἐστὶ κατὰ τὸν ἀκριβῆ λόγον ἡ μήτηρ ἡμῶν, ὦ Παρθένοι, δύναμίς τις οὖσα καθ' ἑαυτὴν ἑτέρα τῶν τέκνων. ἣν ὅτε μὲν Ἱερουσαλὴμ οἱ Προφῆται κατὰ σύνοψιν τῶν ἐπιφερομένων, ὅτε δὲ νύμφην, ὅτε δὲ Σιὼν ὄρος, ὅτε δὲ ναὸν καὶ σκηνὴν τοῦ Θεοῦ κεκλήκασιν. ἡ γὰρ

illi, qui imperauit [a] ſcripturas ſcrutari. Itaque ſi vos etiam dicta approbatis, haud perdifficile fuerit rem aggredi. Dabitis enim prorſus veniam, ſi non exquiſitam ſcripturæ intelligentiam pertigero. Quæ viſa eſt ſole amicta in cælo mulier, & corona ſtellarum duodecim redimita, cuius ad pedes luna ſibi ſedem locauerat, & parturiens, & crucians ſeſe, vt pareret, eſt, ſi exquiſita rei ratio attendenda eſt, noſtra mater, o Virgines, per ſe ipſam facultas quædam a liberis diuerſa: & quam nunc quidem Ieruſalem Prophetæ, vt ex iis, quæ aduenient, coniectant, nunc ſponſam, nunc montem Sion, quandoque etiam templum, & tabernaculum Dei nuncuparunt. Facultas

a Ioann. 5. 39.

cultas enim ad illuminationem geſtiens apud Prophetam, [a] Illuminare, illuminare, *clamante ad ipſam Spiritu*, Ieruſalem. Venit enim lumen tuum, & gloria Domini ſuper te orta eſt. Ecce tenebræ operient terrã, & caligo populos: ſuper te autem apparebit Dominus, & gloria Domini ſuper te videbitur: & ambulabunt Reges in lumine tuo, & gentes in ſplendore tuo. Leua in circuitu oculos tuos, & vide congregatos filios tuos. Venerunt omnes filij tui de longe & filiæ tuæ ſuper humeros ſuſtollentur, *Eccleſia eſt, cuius filij una omnes ſimul poſt reſurrectionem vndequaque ad ipſam accurrent, & quæ excipiens lumen*

παρορμωμένη φωτίζεσθαι δυνάμεις ἐν τῷ Προφήτῃ, Φωτίζου φωτίζου, κεκραγότος αὐτῇ τοῦ πνεύματος Ἱερουσαλήμ. ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ καλύψει σκότος καὶ γνόφος γῆν, καλύψει ἐπὶ ἔθνη. ἐπὶ δέ σε φανήσεται Κύριος, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ὀφθήσεται, καὶ πορεύσονται βασιλεῖς ἐν τῷ φωτί σου, καὶ ἔθνη ἐν τῇ λαμπρότητί σου. Ἀνάβλεψον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ᾽ ὤμων ἀρθήσονται. ἔστιν ἡ Ἐκκλησία, ἧς τὰ τέκνα πανσυδὶ ἥξει ἐν τῷ βαπτίσματι μετὰ τὴν ἀνάστασιν πάντοθεν πρὸς αὐτὴν καταθέοντα, δεχομέ-

a *Iſaie* 60. 1.

νη τε τὸ φῶς τὸ ἀνέσπε-
ρον τὴν λαμπρότητα στο-
λῆς σχήματι περιβεβλη-
μένη τοῦ Λόγου, ἥδεται.
Ποίῳ γὰρ ἄλλῳ τιμαλφε-
στέρῳ κόσμῳ τὴν βασι-
λίσσαν ἔπρεπε κοσμηθεῖ-
σαν νυμφαγωγηθῆναι τῷ
Κυρίῳ, φῶς ὡς ἱμάτιον
λαβοῦσαν. διὸ αὐτὴν ὑ-
πὸ τοῦ πατρὸς ἀνακλη-
θῆναι. Ἴτε γὰρ ἀναβᾶ-
σαι τῷ λόγῳ, θεάσασθε
ὥσπερ τὰς πρὸς γάμον
παρθένους, γυναῖκα με-
γάλην καθαρὸν καὶ ἄ-
χραντον ὅλον, καὶ νόμιμον
κάλλος, καὶ οὐδὲν ἐλατ-
τούμενον τῆς λαμπρότη-
τος τῶν φώτων, ἀποστίλ-
βουσαν. καὶ αὐτὴ μὲν στο-
λῆς αὐτὸ τὸ φῶς ἠμφι-
εσμένην· αὐτὴ δὲ τιμίων
λίθων ἄστρασι ψηφῖσι
τὴν κεφαλὴν κεκοσμη-
μένην. ὃ γὰρ ἡμῖν ἐσθὴς
τοῦτο ἐκείνῃ φῶς. ὃ δὲ ἡ-
μῖν χρυσός, ἢ διαφανεῖς
λίθοι, τοῦτο ἐκείνῃ τὰ

occaſus neſcium ſplendore, amictus forma, Verbi circumdata lætatur. Quo enim alio pretioſiori cultu Regina adornata, quam lumine veluti veſtimento ſuſcepto, Domino deſponſanda erat? ideoque etiam a Patre accerſita. Eia agite ratione aſcendentes, conſpicite veluti Virgines nubiles mulierem ingentem, pura atque immaculata, & legitima pulchritudine, quæ luminarium ſplendore inferior non eſt, prælucentem, & lumine ipſo perinde atque veſte amictam, ſtellis lucentibus quaſi, gemmis & lapidibus pretioſis capite redimitam. Quod enim nobis veſtis, hoc illi lumen eſt, quod nobis aurum, & prælucidi lapides,

hoc illi ſtellæ. Stellæ non quales in cœleſtibus volutantur ſed multo præſtantiores & dilucidiores; vt hæ earum imagines eſſe & ſimulacra exiſtimentur. Et ſuper lunam gradientem. Lunam, vt opinor, figurate fidem eorum, qui lauacro corruptionem expurgant, innuens, quod illius lumen aquæ tepidæ ſimilius ſit, & omnis humida natura ex ea dependeat. Stat itaque ſupra fidem noſtram, & anteceptã animo informationem ſecundum lunæ conſpectum Eccleſia, donec aduenerit complementum gentium, parturiens, & animales in ſpirituales regenerans, ea ratione, qua & mater eſt. Quemadmodum enim mulier ſemen viri informe

ἄστρα. Ἄστρα δὲ οὐχ ὁποῖα τὰ ἐν τῷ οὐρανίῳ κείμενα τόπῳ, ἀλλά τινα κρείττω, καὶ διαφεγγέστερα· ὥστε εἰκόνας ἐκείνων μᾶλλον νομίζεσθαι ταῦτα, καὶ ἀπεικονίσματα. Βεβηκέναι τε ἐπὶ τῆς σελήνης. Σελήνην ὡς ἡγοῦμαι τροπικῶς τὴν πίστιν τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ, λέγων, διὰ τὸ προσεοικέναι τὸ φῶς αὐτῆς μᾶλλον ὕδατι χλιαρῷ, καὶ πᾶσαν ἐξ αὐτῆς ἠρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. Ἐφέστηκεν οὖν ἐπὶ τῆς πίστεως, καὶ προσλήψεως ἡμῶν, ἡ Ἐκκλησία κατὰ τὴν τῆς σελήνης σύνοψιν, μέχριπερ ἂν εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν, ὠδίνουσα, καὶ ἀναγεννῶσα τοὺς ψυχικοὺς εἰς πνευματικοὺς. καθ' ὃν λόγον, καὶ μήτηρ ἐστίν. Ὥσπερ γὰρ σπορὰν ἀνδρὸς ἀμόρφωτον ὑποδεξαμένη γυνὴ περιό-

εκει·

δοις χρόνων ἄνθρωπον ὁλόκληρον ἀποκύει, ταύτῃ δὴ καὶ τοὺς προσφεύγοντας τῷ λόγῳ, φήσειεν ἄν τις, συλλαμβάνουσαν ἀεὶ τὴν Ἐκκλησίαν, καὶ τὴν καθ' ὁμοίωσιν ἰδέαν αὐτῆς, καὶ μόρφωσιν μορφοῦσαν τοῦ Χριστοῦ, περιόδοις χρόνων πολίτας τῶν μακαρίων ἐκείνων ἐργάζεσθαι. Ὅθεν ἐξ ἀνάγκης αὐτὴν ἐφεστάναι δὴ τῷ λουτρῷ τοὺς λουομένους γεννῶσαν, τούτῳ καὶ σελήνη κέκληται τῷ τρόπῳ ἡ περὶ τὸ λουτρὸν αὐτῆς ἐνέργεια, ἐπειδὴ νέον σέλας ἀνανεαθέντες οἱ ἀναγεννώμενοι λάμπουσιν, ὅ ἐστι νέον φῶς, ὅθεν καὶ νεοφώτιστοι καλοῦνται παραφραστικῶς τὸ πνευματικὴν αὐτοῖς πανσέληνον κατὰ τὴν περίοδον τοῦ πάθους, καὶ τὴν ἀνάμνησιν νέαν ἀεὶ παραφαινούσης

excipiens, temporum circuitibus hominem ſuis partibus integrum generat, ita & confugientes ad Verbum, diceret quiſpiam, concipientem Eccleſiam, & quæ ſecundum ſimilitudinem eſt, Chriſti, ſpecie & forma effingentem, poſt varia annorum tempora ciues beatis illis ſeculis dare. Hinc neceſſario adſtat lauacro, eos, qui lauantur, generans, & hac ratione lunæ ſibi nomen facultas illius circa lauacrum attribuit. Cum nouo lumine iuueneſcentes qui regenerantur, ſplendent, ideoque νεοφώτιστοι, noue illuminati *nuncupantur, mutato verbo, cum illa ſpirituale ipſis plenilunium ſecundum paſſionis circuitum & recordationem nouum ſemper exhibeat, vſque-*

dum

dum ſplendor, & lumen diei illius magnæ perfectum exoriatur. Quod ſi quis, neque enim arduum fuerit palam eſſari, ægre ferens dictis obijciat. Et quanam ratione hæc expoſitio a vobis, o Virgines, quaſi ad mentem Scripturæ facta eſſet, comprobatur, cum Apocalypſis maſculum parere Eccleſiam decernat: vos autem ex ijs, qui lauantur, dolores illius partus qui ad maturitatem deducuntur, cum lauantur, perfici intelligitis? Reſpondebimus. O tu, qui ſimilia in contentionem reuocas. Nec tibi plane ſuppetit Chriſtum eſſe eum, qui gignitur, oſtendere; Multo enim antequam Apocalypſis conſcriberetur, arcanum Verbi incarnationis completum fuerat; & Ioannes de præſentibus

ἔς αὖ ἡ αὐγή, καὶ τὸ φῶς, τὸ τέλειον ἀνατείλῃ τῆς μεγάλης ἡμέρας. Ἐὰν δέ τις, οὐδὲν γὰρ χαλεπὸν ἔτι διαῤῥήδην εἰπεῖν, ἀγανακτήσας φέρσῃ πρὸς τὰ εἰρημένα. καὶ πῶς ὑμῖν ἡ ἐξήγησις, ὦ Παρθένοι, γίνεται κατὰ νοῦν τῆς Γραφῆς. ὁπότε ἡ μὲν Ἀποκάλυψις ἄῤῥενα τὴν Ἐκκλησίαν διορίζεται γεννᾶν. ὑμεῖς δὲ ἀπὸ τῶν ἀπολουομένων παρειλήφατε τὰς τελεσφορουμένας ὠδῖνας αὐτῆς πληροῦσθαι λουομένας; λέξωμεν. Ἀλλ᾽; ὦ φιλαίτιε, ἀλλ᾽ οὐδέν σοι πάρεστιν ἀποδεῖξαι τὸν Χριστὸν αὐτὸν εἶναι τὸν γεννώμενον. πάλαι γὰρ πρὸ τῆς Ἀποκαλύψεως ἐπεπλήρωτο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ Λόγου. ὁ δὲ Ἰωάννης περὶ παρόντων, καὶ

tibus

μελλόντων θεσμῳδεῖ. ὁ δὲ Χριστὸς πάλαι κυηθεὶς οὐχ ἡρπάσθη, ὁπότε ἐτέχθη πρὸς τὸν θρόνον τοῦ Θεοῦ, φόβῳ τοῦ μὴ λυμήνασθαι αὐτὸν τὸν ὄφιν. ἀλλὰ τοῦτο ἐγεννήθη, καὶ κατῆλθεν αὐτὸς ἀπὸ τῶν θρόνων τοῦ πατρὸς, ἵνα τὸν δράκοντα χειρώσηται, μείνας προστρέχοντα τῇ σαρκί. ὥστε ἀνάγκη ὁμολογεῖν δεῖ καὶ σὲ, τὴν Ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν, καὶ γεννῶσαν τοὺς ἀπολυτρουμένους. ὥσπερ καὶ ἐν Ἡσαΐᾳ τὸ Πνεῦμα φησί. Πρὶν τὴν ὠδίνουσαν τεκεῖν, καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. Τίς ἤκουσε τοιοῦτον; καὶ τίς ἑώρακεν οὕτως, εἰ ὤδινεν ἡ γῆ ἐν μιᾷ ἡμέρᾳ. εἰ δὲ καὶ τέκοι ἔθνος εἰσάπαξ. ὅτι ὠ-

tibus atque futuris ſundit oracula. & Chriſtus, multo antea partu datus non eſt raptus, timore ne læderetur a ſerpente in ipſo ſui ortu ad Dei Thronum: ſed propterea & genitus eſt, & a Throno paterno deſcendit, vt draconem carnem ad orientem debellaret. Hinc neceſſe eſt, vt tu quoque fatearis, Eccleſiam eſſe, quæ parturit procreatque eos, qui liberantur, vt apud Iſaiam Spiritus dicit,[a] Antequam paturiret, peperit, & antequam venirent partus dolores, aufugit, & peperit maſculum. Quis audiuit tale? & quis vidit ſimile? Nunquid parturijt terra in vno die? aut parturiet gentem ſemel? Quia parturijt Sion,

&

a *Iſai.* 66. 7.

& peperit filios ſuos. *Quemnam effugit, niſi prorſus ipſum draconem, vt parturiret populum intellectualis Sion maſculum, qui ex affectionibus muliebribus, & diſſolutione ad vnitatem Domini peruenit, & ſtudio atque ſedulitate maſculus effectus eſt. Dicimus itaque rurſus initium ſumentes, donec ad finem ſeruata rerũ ſerie perueniamus, exponentes quæ dicta ſunt. Conſidera ergo, ſi tibi etiam videbitur, an recte probeque oratio terminetur. Ego enim* maſculum eam generare *de Eccleſia dictũ eſſe autumo: cum & notas, & typos, ipſam etiam virilitatem Ieſu perfecte conſequantur, qui illuminãtur, forma, quæ ſecundum Verbi ſi-*

δίνησε Σιών, καὶ ἔτεκε τὰ τέκνα αὐτῆς. τίνα ἐξέφυγεν, ἢ πάντως τὸν δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιὼν τὸν ἄρσενα, τὸν τῶν γυναικείων παθῶν, καὶ τῆς ἐκλύσεως εἰς τὴν ἑνότητα τοῦ Κυρίου καταντήσαντα, καὶ ἀπαρσενωθέντα τῇ σπουδῇ. Λέγωμεν οὖν πάλιν ἐξ ἀρχῆς ἐπαναποδίσασαι, μέχριπερ αὖ καθεξῆς πρὸς τὸ τέλος ἔλθωμεν ἐξηγούμεναι τὰ εἰρημένα. Σκόπει οὖν ἐάν πως καὶ σοὶ δοκῇ πρὸς εὐδοξίαν ὁ λόγος πληροῦσθαι. ἐγὼ γὰρ τὸν ἄρσενα ταύτην γεννᾶν, εἰρῆσθαι νομίζω τὴν Ἐκκλησίαν, ἐπειδὴ τοὺς χαρακτῆρας, καὶ τὴν ἐκτύπωσιν, καὶ τὴν ἀῤῥενωπίαν εἰλικρινῶς τοῦ Ἰησοῦ προσλαμβάνουσιν οἱ φωτιζόμενοι, τῆς καθ' ὁμοίωσιν μορφῆς ἐν αὐτοῖς ἐκτυπουμένης τοῦ Λόγου, καὶ

mili-

ἐν αὐτοῖς γεννωμένης κατὰ τὴν ἀκριβῆ γνῶσιν, καὶ πίστιν, ὥστε ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς. καὶ διὰ τοῦτο ἡ Ἐκκλησία σπαργᾷ καὶ ὠδίνει, μέχριπερ ἂν ὁ Χριστὸς ἐν ἡμῖν μορφωθῇ γεννηθείς. ὅπως ἕκαστος τῶν Ἁγίων τῷ μετέχειν Χριστοῦ, Χριστὸς γεννηθῇ. καθ' ὃν λόγον καὶ ἔν τινι Γραφῇ φέρεται, Μὴ ἅψησθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε. οἱονεὶ χριστῶν γεγονότων τῶν κατὰ μετουσίαν τοῦ Πνεύματος εἰς Χριστὸν βεβαπτισμένων, συμβαλλούσης ἐνταῦθα τὴν ἐν τῷ Λόγῳ τελείωσιν αὐτῶν, καὶ μεταμόρφωσιν τῆς Ἐκκλησίας. Βεβαιοῖ δὲ τοῦτο καὶ Παῦλος φανερῶς διδάσκων,

militudinem eſt in iis impreſſa, & in iiſdem ſecundum exquiſitam cognitionem, & fidem generata; ita vt in vnoquoque Chriſtus intellectualiter generetur. proptereaque Eccleſia feruet, turgetque, & parturit, quouſque Chriſtus in nobis generatus efformetur; & Sanctus quilibet, dum Chriſtum participat, Chriſtus generetur. quod in ſcriptura quoque denotatur,[a] Nolite tentare Chriſtos meos; & in Prophetis meis nolite malignari. *Quaſi diceret, Chriſtos factos eſſe, qui ſecundum communionem Spiritus in Chriſtum baptizati ſunt, cum in eorum perfectione atque tranſmutatione opem Eccleſia tulerit. Confirmat id quoque Paulus palam edocens, cum*

ſit

a Pſalm. 105. 15.

ait;[a] Huius rei gratia flecto genua mea ad Deum & Patrem, ex quo omnis paternitas in cœlis & in terra nominatur, ut det uobis iuxta diuitias gloriæ ſuæ, vt fortitudine corroboremini per Spiritum ſuum in interiorem hominem, vt habitet Chriſtus per fidem in cordibus ueſtris. *Nanque in animabus eorum, qui regenerantur, neceſſe eſt, infuſum imprimi verbum veritatis. Dictis porro non abſimile eſt quin etiam quammaxime conſonat, quod veluti eloquium funditur a Patre in Chriſtum, cum aquis hic in Iordane luſtratur.* [b] Filius meus es tu. Ego hodie genui te. *Obſeruandum porro*

ἔνθα φησί. Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δύναμιν κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν. Εἰ γὰρ τὰς τῶν ἀναγεννωμένων ψυχὰς ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι τὸν λόγον τῆς ἀληθείας. Ἔοικε δὲ τοῖς εἰρημένοις, καὶ τοῦτο μάλιστα προσεοικέναι, καὶ συμφωνεῖν τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς πρὸς Χριστῷ ἐπὶ τὸν ἁγνισμὸν κατὰ τοῦ ὕδατος ἐν τῷ Ἰορδάνῃ. Υἱός μου εἶ σύ. ἐγὼ σήμερον γεγέννηκά σε. Παρατηρητέον γὰρ, ὅτι τὸν μὲν υἱὸν αὐτοῦ εἶναι ἀσ-

a *Epheſ. 3. 14.*   b *Pſal. 2. 7.*

ρίστως ἀποφῆναι τὸ ἅτε ἀχρόνως συνόντα αὐτῷ ἔφη, καὶ οὐ γέγονας, ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε αὖ προϋπάρξαντα, μετὰ ταῦτα τέλος ἐσχηκέναι. ἀλλὰ προγεννηθέντα καὶ ἔσεσθαι καὶ εἶναι τὸν αὐτόν. τὸ δὲ, Ἐγὼ σήμερον γεγέννηκά σε, ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων ἐν τοῖς οὐρανοῖς ἐβουλήθην, καὶ τῷ κόσμῳ γεννῆσαι, ὃ δή ἐστι, πρόσθεν ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνῃσθημένοις τὴν πολυποίκιλον σοφίαν τοῦ Θεοῦ ὁ Χριστὸς οὐδέπω γεγέννηται, ὅπερ ἐστὶν, οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται, οὐδέπω ἐφάνη. Εἰ δὲ καὶ αἴσθοιντο καὶ οὗτοι τῆς χάριτος τὸ μυστή-

porro eſt, ſui filium eſſe indefinite declarauiſſe, tanquam qui expers temporis, vna cum eo eſt: & non factum eſſe, indicans, neque nunc recens eum in adoptionem filij veniſſe, neq; rurſus antea extitiſſe, poſtmodum finem habuiſſe, ſed antea genitum, & immutabilem eſſe: illud vero; Ego hodie genui te. *Cum antea ante ſecula eſſes in cœlis, volui mundo quoque te generare. quod eſt, qui eras ante incognitus, in cognitionem aliorum venire. Quandoquidem hominibus variam ac multiplicem Dei ſapientiam non agnoſcentibus, Chriſtus non dum genitus eſt, non dum nempe cognitus eſt, non dum manifeſtatus eſt, non dum apparuit. Quodſi gratiæ arcanum conceperint, tum vero*

& ipſis conuerſis, & credentibus, ſecundum cognitionem & prudentiam generatur. Quapropter non incongrue hinc Eccleſia maſculũ verbum in ijs, qui expiantur, continuo efformare, & generare dicitur. Et hæc quidem de doloribus, & partu illius pro viribus noſtris dicta ſunto. De Dracone vero & alijs referenda ſunt. Quare iterum conemur, o Virgines, magnitudine ænigmatũ ſcripturæ haud perterritæ, alio quoque modo exponere. Quod ſi quid inter exponendum difficile occurrerit, ego vos quaſi per flumen traijciam. Draco ingens, rufus, multimodus, multifidus, ſeptem capitibus eminens, cornigerus, trahens tertiam partem

ριον, τότε δὴ καὶ αὐτοῖς ὁπότε ἐπέστρεψαν, καὶ ἐπίστευσαν, κατὰ τὴν γνῶσιν, καὶ τὴν σύνεσιν γεννᾶται. Διὸ καὶ προσηκόντως ἐντεῦθεν ἡ Ἐκκλησία τὸν ἄρσενα λόγον ἐν τοῖς ἁγνιζομένοις ἀεὶ μορφοῦν λέγεται, καὶ γεννᾶν. Καὶ τὰ μὲν δὴ περὶ τῶν ὠδίνων αὐτῆς, εἰς δύναμιν εἴρηται, τὰ δὲ περὶ τοῦ δράκοντος, καὶ τῶν ἄλλων τῇδε μεταβλητέον. οὐκοῦν πειρώμεθα πάλιν ἄλλως γέ πως δηλοῦν, ὦ Παρθένοι, μηδὲν ἀποδειλιῶσαι πρὸς τὸ μέγεθος τῶν αἰνιγμάτων τῆς γραφῆς. ἐὰν δέ τι δύσκολον ἐμπίπτῃ τοῖς λόγοις, ἐγὼ πάλιν ὑμᾶς ὥσπερ ποταμὸν διαβιβάσω. Ὁ δράκων ὁ μέγας, ὁ πυῤῥὸς, ὁ πολυχιδὴς, ὁ ἑπτακέφαλος, ὁ κερασφόρος, ὁ σύρων τὸ τρίτον τῶν ἀστέρων, ὃς ἕστηκεν ἐφεδρεύων, ἵνα τὸ τέκνον τῆς ὠδι-

ſtel-

νούσης γυναικὸς καταφάγῃ ὁ Διάβολος οὗτός ἐστιν, ὁ ἐνεδρεύων, ὁ λοχῶν λυμήνασθαι τῶν φωτισθέντων τὸν χριστόληπτον νοῦν, καὶ τὴν ἐκτύπωσιν, καὶ τὴν γέννησιν τὴν ἐν αὐτοῖς ἀποτεχθεῖσαν τοῦ Λόγου, ἀλλ' ἀστοχεῖ, καὶ σφάλλεται τῆς ἄγρας, ἄνω πρὸς ὕψος ἁρπαζομένων τῶν ἀναγεννωμένων πρὸς τὸν θρόνον τοῦ Θεοῦ. ὃ δή ἐστιν ἄνω περὶ τὴν θείαν ἕδραν, καὶ τὴν ἀσκανδάλιστον ὑπόβασιν τῆς ἀληθείας αἴρεται τὸ φρόνημα τῶν ἀνακαινισθέντων, τὰ ἐκεῖ βλέπειν, καὶ τὰ ἐκεῖ φαντάζεσθαι, παιδαγωγούμενον, ἵνα μὴ ἀπατηθῇ πρὸς τοῦ δράκοντος βέρεθρον κάτω. οὐ γὰρ αὐτῷ θέμις τοὺς ἄνω νεύοντας, καὶ τοὺς ἄνω βλέποντας ἀφανίσαι. Οἱ δὲ ἀστέρες εἰσίν, οὓς τῇ τῆς οὐ-

ſtellarum, inſidias parans mulieri, vt fœtum parturientis deuoret, Diabolus eſt, qui in inſidijs locatus, mentem a Chriſto correptā illuminatorum, & impreſſionem, & imaginem Verbi in ijs ingenitam lædere ac deturpare contendit: ſed aberrat & venatione fruſtratur; cum regenerati ad ſublimia, & thronum Dei rapiantur: ſurſum nempe circa diuinam ſedem, & abſq; offenſione veritatis baſim renouatorum mens erigatur, quæ ibi ſunt, & videre, & animo atque imaginatione conuoluere inſtructa, ne a dracone deorſum tendente decipiatur. Neq; enim facultas illi eſt, ſurſum ſuſpicientes, & intuentes perdere. Stellæ porro, quas ille caudæ

*extremitate in verti-
ce tactas in terram
deturbat; Hæreſeon
ſunt contorſiones. Stel-
læ nanque ſuboſcuræ, &
circa humilia ſeſe vo-
lutantes Heterodoxorũ
conciliabula nuncupan-
da ſunt: Cum rerum
cœleſtium ipſi quoque
periti eſſe, & in Chri-
ſtum credere, & ſedem
animæ in cœlis habere,
& veluti lucis filij ſtel-
lis prope accedere con-
tendunt; verum dra-
conis implicationibus
dimoti conuelluntur,
quod intra pietatis for-
mas triangulas non
conſtiterunt, dum de
orthodoxa religione de-
ceſſere. Hinc & ter-
tia pars ſtellarum ap-
pellati ſunt, veluti cir-
ca vnum Triadis nume-
rum deerrantes: quan-
doque Patris, vt Sa-
bellius, qui ipſum omnipotentem paſſionem
ſub-*

στρας ἄκρῳ τῆς κορυφῆς ἐ-
φαπτόμενος εἰς τὴν γῆν
κατασπᾷ, τῶν αἱρέσεων
αἱ συστροφαί. Ἀστέρας γὰρ
ἀμυδροὺς, καὶ ταπεινοστρε-
φεῖς, τὰς συνόδους
εἶναι τῶν ἑτεροδόξων φρα-
στέον. Ἐπειδὴ τῶν οὐρανίων
ἐπιστήμονες εἶναι δὴ βού-
λονται καὶ αὐτοὶ, καὶ εἰς Χρι-
στὸν πεπιστευκέναι, καὶ τὴν
ἕδραν ἔχειν τῆς ψυχῆς ἐν τοῖς
οὐρανοῖς, καὶ πλησιάζειν τοῖς
ἄστροις ὡς φωτὸς τέκνα.
ἀλλὰ κατασύρονται τοῦ δρά-
κοντος ἐκσφαλθέντες ταῖς
πλοκαῖς, ὅτι μὴ τῶν τρι-
γώνων εἴσω τῆς εὐσεβείας
ἔστησαν σχημάτων πταί-
σαντες αὐτῆς περὶ τὴν ὀρθό-
δοξον θρησκείαν. ὅθεν καὶ
τρίτον τῶν ἀστέρων ἐκλή-
θησαν μέρος, οἷον περὶ
ἕνα τὸν ἀριθμὸν τῆς Τρι-
άδος διεσφαλμένοι. ὁ
τε μὲν τοῦ πατρὸς ὡς Σα-
βέλλιος, αὐτὸν τὸν παν-

ὑπεράτορα λέξας πεπονθέναι. ὁτὲ δὲ τὸν τοῦ υἱοῦ ὡς Ἀρτεμᾶς, καὶ οἱ δοκήσει αὐτὸν ἀποφηνάμενοι πεφυκέναι. ὁτὲ δὲ περὶ τοῦ Πνεύματος ὡς Ἐβιωναῖοι, ἐξ ἰδίας κινήσεως τοὺς Προφήτας φιλονεικοῦντες λελαληκέναι. Μαρκίων γὰρ, καὶ Οὐαλεντῖνος καὶ τὸν περὶ Ἐλκεσαῖον, καὶ τοὺς ἄλλους καλὸν μηδὲ μνημονεῦσαι. Ἡ δὲ γεννήσασα καὶ γεννῶσα τὸν ἄῤῥενωπὸν ἐν ταῖς καρδίαις τῶν πιστευσάντων λόγον, καὶ ἄχραντος, καὶ ἀβλαβὴς ὑπὸ θηρὸς τῆς ὀργῆς εἰς τὴν ἔρημον παραγινομένη, ἡ μήτηρ ἡμῶν ἐστιν, ὡς ὑποδεδώκαμεν, ἡ Ἐκκλησία. Ἡ δὲ ἔρημος εἰς ἣν ἐλθὼν ἐπέφερε τὰς χιλίας καὶ διακοσίας ἡμέρας καὶ ἑξήκοντα, ἡ κακῶν πλήρης ἀληθῶς, καὶ

ſubijſſe pronunciauit: quandoque Filij, vti Artemas, & quicunq; alij, qui imaginatione eum tantummodo carnem aſſumpſiſſe aſſeuerarunt: quandoque Spiritus, vt Ebionæi, qui proprio inſtinctu Prophetas verba feciſſe contendunt. Marcionis enim, & Valentini & Elceſſæi comitum, aliorumque optimum fuerit nec memoriam quidem refricare. Quæ vero progenerauit atque progenerat maſculum in cordibus ac fidele Verbum, & pura, & a belluæ furore immunis in deſerta loca ſecedens, mater noſtra eſt, vt interpretatæ ſumus, Eccleſia. Solitudo autem, in quam ſeſe contulit, per ſexaginta & ducentos & millenos dies alita, malorum omnium vere plena

infœcunda, ſterilis, aditu difficilis atq; imperuia pleriſq; eſt: ſed Sanctis fructifera, prædiues pabulis, herbeſcente viriditate amœna, facile penetrabilis, ſapientiæ affluens, & vitæ germinans. Hic ipſe eſt virtutis pulcherrimus, pulchris arboribus conſtipatus, & ſuauis auræ aſpiratione deliciosſus ager, [a] *vbi ſurrexit Auſter, & perflauit Aquilo, & fluunt aromata, & omnia nectaris ambroſiæque roribus cumulatiſſime redundant, immortalis vitæ germinibus non ſeneſcentibus redimita. In quo nos immoramur nunc flores legentes, ac digitis illibatis nectentes Reginæ purpuream, & ſplendidiſſimam virginitatis coronam: Virtutis etenim fructibus ſponſa Verbi adornatur. Mille*

ἄγονος, καὶ στεῖρα φθορᾶς, καὶ δυσπρόσιτος, καὶ δύσβατος τοῖς πολλοῖς, εὔκαρπος δὲ, καὶ εὔβοτος, καὶ εὐθαλὴς, καὶ εὐεπίβατος Ἁγίοις, καὶ πληθύουσα σοφίας, καὶ βλαστάνουσα ζωὴν, τοῦτο αὐτὸ δὴ τῆς Ἀρετῆς τὸ κάλλιστον, καὶ καλλίδενδρον, καὶ καλλίπνουν χωρίον. Ἔνθα ἐξηγέρθη ὁ νότος, καὶ διέπνευσεν ὁ βοῤῥᾶς, καὶ ῥέουσι τὰ ἀρώματα, καὶ πάντα τῶν ἀμβροσίων πεπλήρωνται δρόσων, ἀθανάτου ζωῆς βλαστοῖς ἀμαράντοις κατεστεμμένα. εἰς ὃ ἐσμὲν ἡμεῖς ἀνθολογοῦσαι νῦν, καὶ πλέκουσαι τῇ βασιλίσσῃ τὸν ἁλουργῆ στέφανον, καὶ ἔκλαμπρον τῆς παρθενίας ἀθίκτοις δακτύλοις. Ἀρετῆς γὰρ κοσμεῖται καρποῖς ἡ νύμφη τοῦ Λόγου.

a. Cantic. 4. 16.

au-

αἱ δὲ χίλιαι καὶ διακόσιαι ἡμέραι καὶ ἑξήκοντα, ἃς ἐνθάδε ἐσμὲν εἰς ἐπιδημίαν, ἡ περὶ τοῦ πατρός ἐστιν, ὦ Παρθένοι, καὶ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος κατ' εὐθεῖαν ἀκριβὴς καὶ ἀρίστη σύνεσις, ἐφ' ᾗ γέγηθεν ἡ μήτηρ ἡμῶν αὐξανομένη, καὶ ἀγάλλεται τοῦτον τὸν χρόνον, μέχριπερ αὖ τῆς ἀποκαταστάσεως τῶν καινῶν αἰώνων εἰς τὴν ἄγυριν ἐλθοῦσα εἰς οὐρανοὺς, μηκέτι δι' ἐπιστήμης κατασκέπτηται τὸ ὄν, ἀλλὰ φανῶς ἐποπτεύσῃ Χριστῷ συνεισβᾶσα. τὰ γὰρ χίλια ἐν ἑκατοντάσι δεκαπλασιασθέντα τέλειον ἀριθμὸν, καὶ πλήρη περιέχει. ὃ δή ἐστι σύμβολον αὐτοῦ τοῦ πατρὸς, τοῦ ἀφ' ἑαυτοῦ δημιουργήσαντος καὶ ἐν ἑαυτῷ συγκρατοῦντος τὸ πᾶν. τὰ δὲ διακόσια τῶν ἐκ δύο τελείων

autem & ducenti & ſexaginta dies, quibus in hoc mundo peregrinamur, de Patre eſt, o Virgines, & Filio, & Spiritu recta, exquiſita, atque optima intelligentia, qua mater noſtra accreſcẽs gaudet, & hoc eodem tempore lætatur, quouſque ad nouorum ſeculorũ conſtitutionem, vna cum reliqua cohorte in cœlum perueniens, non amplius id quod eſt, per ſcientiam meditabitur, ſed ſimul cum Chriſto ingreſſa, palam aperteq; intuebitur. Mille ſiquidem decies centies multiplicatum, perfectum plenumque numerum continens, Patris ipſius ſymbolum eſt, qui ex ſe ipſo creauit, & in ſe ipſo vniuerſum comprehendit. Ducenta, quæ ex duobus perfectis

numeris connectuntur, Spiritus ſancti ſymbolum ſunt, quod ille Patris & Filij cognitionē alijs cōmunicat. Sexaginta decies ſex cōplectentia Chriſti ſymbolū, quod ſenarius numerus a monade progrediens ex proprijs membris componitur ita, vt in ipſo neq; deſit aliquid neque redundet. In propria ſiquidem membra reſolutus completur, in ſex nempe, & in æquales partes ex æqualibus membris diuiſis, neceſſario eadem ex diuiſis particulis iterum quantitate perficitur. Primum enim medio ſui diuiſus, ter facit: tum in tria, duo: demum in ſex partitus, vnum conſtituit, & in ſemetipſum rurſum completus refertur. Nam in bis tria, &

ἀριθμῶν συνεζευγμένον, ὃ δή ἐστι σύμβολον τοῦ ἁγίου Πνεύματος, καθὸ τῆς γνώσεώς ἐστι τοῦτο τοῦ υἱοῦ καὶ τοῦ πατρὸς παρεκτικόν. τὰ δὲ ἑξήκοντα τὸν ἓξ ἀριθμὸν ἐν δεκάσιν ἓξ ἔχει, ὃ δὴ σύμβολόν ἐστι τοῦ Χριστοῦ, ἐπειδήπερ ὁ τῶν ἓξ ἀπὸ μονάδος προϊὼν ἀριθμὸς ἐπὶ τῶν ἰδίων συντίθεται μερῶν, ὥστε μήτε λείπειν ἐν αὐτῷ τι, μήτε πλεονάζειν. εἰς τὰ ἑαυτοῦ μέρη γὰρ ἀναλυόμενος συμπληροῦται, οἷον τὸν ἓξ, καὶ εἰς ἴσα μέρη ἐξ ἴσων τεμνομένων μερῶν, ἀνάγκη τὴν αὐτὴν ἐκ τῶν διαμερισθέντων τμημάτων πάλιν ποσότητα πληροῦται. Πρῶτον γὰρ μέρος κατὰ μέσον διαιρούμενος ποιεῖ τὸν τρία, εἶτα εἰς τρία διαιρούμενος μέρη ποιεῖ τὰ δύο, εἶτα εἰς ἓξ μερισθεὶς ποιεῖ τὸν ἕνα, καὶ συμπληροῦται πάλιν εἰς ἑ-

ter

αὐτόν. εἰς γὰρ δὶς τρία, καὶ τρεῖς δύο, καὶ ἑξάκις ἓν διαιρούμενος, συντιθεμένων τῶν δύο, καὶ τριῶν καὶ τοῦ ἑνὸς πάλιν ἀναπληροῦται τὰ ἕξ. τέλειον δὲ πᾶν ἐξ ἀνάγκης ἐστὶ, τὸ μήτε προσδεόμενον εἰς συμπλήρωσιν ἑτέρου, μήτε πλεονάζον ἑαυτοῦ πώποτε. τῶν δὲ ἄλλων ἀριθμῶν οἱ μὲν ὑπερτέλειοι εἰσίν, ὡς ὁ δώδεκα, τὸ γὰρ ἰσοναύτου μέρος τὰ ἕξ, καὶ τὸ τρίτον τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ τρία, καὶ τὸ ἕκτον τὰ δύο, καὶ τὸ δωδέκατον τὸ ἕν, εἰς ἃ δύναται μερίζεσθαι, συντελεσθέντα, ὑπερβάλλουσι τὸν δώδεκα, οὐ τηρήσαντος ἑαυτὸν ἴσον τοῖς ἑαυτοῦ μέρεσιν ὡς ὁ ἕξ, οἱ δὲ ὑποτέλειοι ὡς ὁ ὀκτὼ τὸ γὰρ ἥμισυ αὐτοῦ τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ δύο, καὶ τὸ ὄγδοον τὸ ἓν εἰς ἃ τέμνεται μέρη συντεθέντα

ter duo, & ſex vnum diuiſus, in vnum coactis duobus, tribus, & vno iterum ſenarium explet. Perfectum autem eſſe neceſſe eſt, quidquid ad ſui complementum, neque externo indiget, neque in ſuis ſuperabundat. Aliorum autem numerorum quidam ſunt ampliores, vt duodecim, cuius æqua pars, ſex nempe, & tertia, quatuor & quarta, tria, & ſexta duo, & duodecim vnum, in quæ ſubdiuidi poteſt, in vnum aggregata duodenarium ſuperant, cum ille ſemetipſum ſuis partibus æquum non ſeruet, quemadmodum ſenarius: quidam anguſtiores, vt octo: nam ipſius dimidia pars, quatuor, & quarta, duo, & octaua, vnum, in quas diuiditur,

ditur, ſimul poſitæ ſeptenarium procreant, & monade illi opus eſt, ut ſui complementum conſequatur: non uti ſenarius qui ſibi per omnia concorditer congruit. Quapropter ad filium Dei refertur, qui a complemento Deitatis in mundum proceſſit. [a] Exinanitus *enim* formam ſerui accipiens, *in propria rurſus perfectione, & dignitate perfecte conſtitit. Ipſe ſiquidem in ſeipſo imminutus, & in proprijs partibus reſolutus, ex ſua paruitate & ſuis partibus in complementum rurſus ſuum, & magnitudinem peruenit, & nunquam hac ſua extenuatione aliquid de perfectione amiſit: ſed & uniuerſi creatio ex hoc numero atque concentu uide-*

ποιεῖ τὸν ἑπτά, καὶ προσδεῖται μονάδος εἰς τὴν ἑαυτοῦ συμπλήρωσιν, οὐχ ὡς ὁ ἓξ παντοίως ἑαυτῷ σύμφωνος ὤν, διὸ καὶ τὴν ἀναφορὰν εἰς τὸν υἱὸν ἀνείληφε τοῦ Θεοῦ, ἀπὸ τοῦ πληρώματος τῆς θεότητος εἰς τὸν βίον ἐληλυθότος. κενωθεὶς γάρ, καὶ τὴν μορφὴν τοῦ δούλου προσλαβών, εἰς τὴν ἑαυτοῦ τελειότητα πάλιν ἀνεπληρώθη καὶ τὴν ἀξίαν. Αὐτὸς γὰρ ἐν αὐτῷ σμικρυνθείς, καὶ ἐν τοῖς ἑαυτοῦ μέρεσιν ἀναλυθείς, ἐκ τῆς ἑαυτοῦ σμικρότητος, καὶ τῶν ἑαυτοῦ μερῶν εἰς τὴν συμπλήρωσιν πάλιν τὴν ἑαυτοῦ καὶ τὸ μέγεθος κατέστη, οὐδέποτε τοῦ τέλους ἐστὶ μειωθείς. ἀλλὰ καὶ ἡ τοῦ κόσμου κτίσις ἐκ τούτου φαίνεται πᾶσα συνεστηκέ-

a *Philip.* 2. 7.

ναι τοῦ ἀριθμοῦ καὶ τῆς ἁρμονίας ἐν ἓξ ἡμέραις ποιήσαντος τοῦ Θεοῦ τόν τε οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτοῖς. τῆς ποιητικῆς δυνάμεως τοῦ Λόγου τὸν ἓξ ἐμπεριέχοντος ἀριθμὸν, καθ' ὃν ἡ τριὰς σωμάτων ἐστὶ ποιητική, μῆκος γὰρ, καὶ πλάτος, καὶ βάθος σῶμα ἐργάζεται. ὁ δὲ ἓξ ἐκ τῶν τριγώνων ἐστὶ συγκείμενος. Καὶ περὶ μὲν τούτων οὐκ ἔστι καιρὸς πρέπων ἐν τῷ παρόντι δι' ἀκριβείας διεξηθεῖν, ἵνα μὴ τὸ προκείμενον ἐάσαντες τὸ πάρεργον σκοπῶμεν. Οὐκοῦν δεῦρο εἰς τὴν ἔρημον ἐλθοῦσα ταύτην, καὶ ἄγονον κακῶν, καθὼς πρόσθεν εἰρήκαμεν, ἡ Ἐκκλησία τρέφεται, πτερουμένη τοῖς οὐρανοπόροις τῆς παρθενίας πτεροῖς· ἃς ἀετοῦ μεγάλου πτέρυγας ὁ Λόγος ἔφη νικήσας τὸν ὄφιν, καὶ τῆς προσελήνου

detur compacta ; cum Deus ſex diebus & cælum, & terram, & quæ in eis ſunt, produxerit, cum effectrix Verbi facultas ſenarium in ſe contineat numerũ, per quem ternarius corpora producit: longitudo enim & latitudo necnon altitudo corpus efficiũt. Sex porro ex triangulis componitur. Et de his quidem opportunum in præſentia exactius diſſerendi tempus non eſt; ne re propoſita neglecta, quod extra materiam eſt, conſideremus. Itaq; in hanc ſolitudinem malorum infœcundam, ut antea dictum eſt, Eccleſia progreſſa alitur, in cœlo gradientibus alis virginitatis volucris facta, quas ingentis aquilæ alas Verbum vocauit, cum debellaſſet ſerpentem, &

lunæ plenæ nebulas ſæuas ac tẽpeſtuoſas diſtecíſſet. Horum quippe gratia quidquid interea oratione noſtra diſſeruimus dictum eſt, vt inſtruamini, o pulchræ Virgines, pro viribus matrem æmulari, & moleſtijs, & mutationibus, atque huiuſce vitæ afflictionibus non interturbari: ſic enim ſimul cum ea exultantes, & lampades attollentes, in thalamum ſponſi ingrediemini. Ne itaque ad aſſultus & calumnias belluæ animum deſpondeatis, ſed viriliter ſalutari galea, & thorace, & ocreis armata ad pugnam accingamini. Immenſum enim illi ſtuporem, acri præſentique & forti animo occurſantes, ingenerabitis. Neq; ſuſtinebit prorſus videns ad-

τῆς ἑαυτῆς τὰς νεφέλας τὰς δυσχειμέρους ἀπεωσαμένη. Τούτου γὰρ χάριν οἱ μεταξὺ πάντες οὗτοι παρωνέχθησαν λόγοι, διδάσκοντες ἡμᾶς, ὦ καλλιπάρθενοι, κατὰ κράτος μιμεῖσθαι τὴν μητέρα, μὴ ἐπιθορυβεῖσθαι δὲ ταῖς ἀχθηδόσι, καὶ τροπαῖς, καὶ θλίψεσι τοῦ βίου. ἵνα συνεισέλθητε γαῦροι μετ' αὐτῆς εἰς τὸν νυμφῶνα, παραφαίνουσαι τὰς λαμπάδας. Μὴ οὖν ἀποδειλιάσητε πρὸς τὰς μεθοδείας, καὶ διαβολὰς τοῦ θηρός, ἀλλὰ καρτερῶς ἐνσκευάσασθε πρὸς τὴν μάχην, τὴν κόρυν τοῦ σωτηρίου καὶ τὸν θώρακα καὶ τὰς κνημῖδας ἐξωπλισμέναι. μυρίαν γὰρ κατάπληξιν αὐτῷ παρέξετε μετὰ πολλοῦ λήμματος καὶ εὐψυχίας προσβάλλουσαι. οὐδὲ στήσεται πάν-

τοὺς ἐκ τοῦ κρείττονος ὁρῶν ταῖς ἀντιπάλοις παρατεταγμένας, ἀλλ᾽ αὐτόθεν ἄρασθαι τὴν ἑπτὰ παλαισμάτων ὑμᾶς συγχωρήσει τὰ ἀριστεῖα ὁ πολυκέφαλος, καὶ πολυπρόσωπος θὴρ, Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα, Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο. Καὶ τὴν μὲν κατέπεφνε πρὶν ὁ Περσεὺς, τὴν δὲ Χριστὸς ἄναξ, Πολλοὺς δὲ ἀπώλεσεν, οὐδέ τις ἔτλη, Λοίγιον ἐκ γενύων ἀφρὸν ἐρευγόμενον, εἰ μὴ πρότερον ἐκλύσας αὐτὴν κατειργάσατο, καὶ ἀσθενῆ καὶ εὐκαταφρόνητον ἡμῖν παντελῶς ἐποίησε Χριστός. Διὸ θυμὸν ἄρσενα λαβοῦσαι καὶ νήφοντα ἐναντία θέσθε τῷ θηρὶ σφριγῶντι τὰ ὅπλα. Μὴ ὑ-

uerſarius melioribus armis inſtructos & firmatiori in acie collocatos: ſed confeſtim ſeptem luctarum vobis præmia concedet bellua hæc, multis capitibus, & multis faciebus perhorrida;[a] Ora Leonis erant, venter Capræ, cauda Draconis, Terribiles vapido ſpirabat pectore flammas. *Et illam quidem antea Perſeus interfecit; hanc vero Chriſtus Rex.* Pleroſque vero illa perdidit, nemoque ſuſtinuit Noxiam quam ex genis ſpumam eructabat, *ni prius eam diſſoluens, imbecillam & deſpiciendam nobis prorſus Chriſtus reddiſſet. Propterea viri animo & ſobrio aſſumpto tumenti belluæ arma opponite. Ne pedem retro referatis, quibus illa*

a Hom. Z. 181.

illa immodice ferocit; abſterritæ. Gloriam quippe quam maximam conſequemini, ſi victrices ſeptem illius coronas auferatis, ob quas certamen nobis propoſitum eſt & lucta, vt magiſter noſter Paulus ait. Quæ nanque prius ſeptem Diaboli capita expugnauerit, & mortificauerit, illa ſeptem maximis caſtimoniæ certaminibus abſolutis, ſeptem virtutis coronas conſequitur. Caput enim Draconis eſt intemperantia & luxus, qui illud fregerit, caſtitatis corona redimitur. Caput enim eſt timor & mollities, qui illud conculcauerit martyrij coronam adipiſcitur. Caput item eſt infidelitas, & ſtultitia, & reliqua pari

παραχωρήσητε τὸ σκύλον, ἐφ᾽ οἷς θρασύνεται ταραχθεῖσαι. μυρίον γὰρ ἕξετε κλέος ἐὰν ἀφέλησθε νικήσασαι τοὺς ἐπ᾽ αὐτοῦ στεφάνους ἑπτά, δι᾽ οὓς ὁ ἀγὼν ἡμῖν πρόκειται, καὶ ἡ πάλη κατὰ τὸν διδάσκαλον Παῦλον. ἡ γὰρ καταγωνισαμένη τοῦ Διαβόλου πρότερον, καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλάς, τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς ἐγκρατὴς γίνεται, τοὺς ἑπτὰ μεγίστους ἀγῶνας διαθλήσασα τῆς ἁγνείας. Κεφαλὴ γὰρ τοῦ δράκοντός ἐστιν ἡ ἀκρασία καὶ ἡ τρυφή, ὁ ταύτην θλάσας ἀναδεῖται τὸν στέφανον τῆς σωφροσύνης. Κεφαλή ἐστι καὶ ἡ δειλία, καὶ ἡ θρύψις, ὁ ταύτην πατήσας τὸν στέφανον αἴρεται τοῦ μαρτυρίου. Κεφαλή ἐστιν ἡ ἀπιστία, καὶ ἡ ἄνοια, καὶ τὰ ἄλλα ὡσαύτως τῆς πονηρίας πλεο-

modo improbitatis facinora, qui ea confecerit,

&

νοκτήματα, ὁ ταῦτα κα-
τεργασάμενος, καὶ ἀνε-
λὼν τὰς ἐπ' αὐτοῖς τι-
μὰς ἀποφέρεται, πολυτρό-
πως ἐκκεραϊζομένης τοῦ
δράκοντος τῆς ἰσχύος.
Καὶ γὰρ καὶ τὰ δέκα κέρα-
τα, καὶ κέντρα, ἅπερ ἐπὶ
ταῖς κεφαλαῖς ἐλέχθη φέ-
ρειν, αἱ δέκα ἀντιθέσεις εἰ-
σὶν, ὦ καλλιπάρθενοι, τοῦ
Δεκαλόγου, αἷς ἀνακε-
ρατίζειν εἴωθε, καὶ βάλ-
λειν τὰς τῶν πλείστων ψυ-
χὰς. τῇ, Ἀγαπήσεις ἐν-
τολῇ Κύριον τὸν Θεόν σου
τὰ ἐναντία φρονῶν, καὶ
τεκταινόμενος, καὶ τοῖς
ἑξῆς νομοθετήμασιν. Ἴ-
δε κέρας αὐτοῦ διάπυρον,
καὶ πικρὸν τὴν πονηρίαν,
ᾧ τοὺς ἀκράτορας βάλ-
λει. Ἴδε τὴν μοιχείαν,
ἴδε τὸ ψεῦδος, ἴδε τὴν
φιλαργυρίαν, ἴδε τὴν
κλοπὴν, καὶ τὰ ἄλλα τού-
των ἀδελφὰ καὶ συγγενῆ,
ὁπόσα παρεξιχνεύουσιν ἀμ-

*& perdiderit, multifa-
riam draconis potentia
deuaſtata honores de
his reportat. Inſuper &
decem cornua, & de-
cem aculei, quæ, di-
ctum eſt, eum in ca-
pitibus perferre, decem
Decalogi ſunt oppugna-
tiones, o pulchræ Vir-
gines, quibus arietare,
rictuq; plurimorum a-
nimos ad caſum dare
aſſueuit, cum mandato,*
[a] Diliges Dominum
Deum tuum, *& præce-
ptis quæ ſubſequuntur,
diſiuncta maxime &
contraria propinat &
ſuggerit. Vide cornu
ipſius ignitũ atq; ama-
rulētum malitiam, quo
intemperantes diuerbe-
rat: vide adulterium,
vide mendacium, vide
auaritiam, vide fur-
tũ, & alia hiſce conſen-
tanea & affinia, quæ
cir-*

a Deuter. 6. 5.

*circa illius capita pari-
cidioſa adnata præpotẽ-
ti imperio præualẽt. Il-
lis vos, auxilia Chriſto
ferente, ſummotis ſub-
latiſq; e medio, capita
veſtra diuina coronis
contra draconem aqui-
ſitis & exornabitis, &
prægrauabitis. Noſtrũ
ſiquidẽ eſt meliora præ-
ferre, & terrenis hiſce
præponere, cum ſui ar-
bitrÿ dominam ac li-
beram mentem, & o-
mni neceſſitate ſupe-
riorem nanciſcamur,
vt non coacte, ſed ſpon-
te & ad arbitrium no-
ſtrum, quidquid lubet,
eligamus, non fato in-
ſeruientes, non ſorti-
bus; adeo vt ſui ipſius
dominus haud ſit, nec
probus, niſi qui huma-
no Chriſti exemplo v-
tens, & ad illum ſeſe
effingens, & illum imitans vitam traducit. O-
mnium enim malorum pernicioſiſſimum id fue-
rit,*

φὶ ταῖς κεφαλαῖς αὐτοῦ τῷ
ἀνθρωποκτόνοις πεφυκό-
τα, ἃς ἡμεῖς συμμαχίᾳ
Χριστοῦ ἐκκεφαλίσασαι λή-
ψεσθε, τοῖς κατὰ τοῦ δρά-
κοντος κατανθεμῶσαι
στεφανώμασιν ὑμῶν τὰς
θείας κεφαλάς. ἡμέτε-
ρον προκρίνειν γὰρ τὰ
κρείττω, καὶ προτάσσειν
περὶ τῶν γηΐνων αὐτο-
κράτορα, καὶ αὐτεξούσιον
τὸν λογισμὸν εἰληφότας,
καὶ πάσης ἀνάγκης ἐκτὸς,
εἰς τὸ αὐτοδεσπότως αἱ-
ρεῖσθαι τὰ ἀρέσκοντα, οὐ
δουλεύοντας εἱμαρμένῃ καὶ
τύχαις. ὡς οὐκ ἄνθρω-
πος αὐτοῦ κύριος ἔσοι-
το, καὶ ἀγαθὸς, εἰμὴ τῷ
ἀνθρωπίνῳ παραδείγ-
ματι χρώμενος τοῦ Χρι-
στοῦ, καὶ πρὸς ἐκεῖνον ἑαυ-
τὸν ζωγραφῶν, κἀκεῖνον
μιμούμενος, βιώσῃ. Πάν-
των γὰρ κακῶν μέγιστον

ἔμφυτον τοῖς πολλοῖς, τὸ τὰς αἰτίας τῶν ἁμαρτημάτων, εἰς τὰς τῶν ἀστέρων κινήσεις ἀναφέρειν, καὶ τὸν βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέγειν. καθάπερ οἱ μετὰ ἀλαζονείας πολλῆς ἀστεροσκοπήσαντες. ὑπονοίᾳ γὰρ μᾶλλον, ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ ψεύδους, πολὺ τῆς τῶν ὄντων ἀληθείας ἐξηπατήθησαν. Ὅθεν εἰ παρείης, ὦ Ἀρετή, πληρωθέντος ἤδη μοι τοῦ λόγου, ὃν αὐτὴ προσέταξας Δέσποινα ῥηθῆναι, πειράσομαι δὴ συναγωνιζομένης σου, καὶ συμπνεούσης, πρὸς τοὺς χαλεπαίνοντας, καὶ ἀμφισβητοῦντας, ὡς οὐκ ἀληθῆ λέγομεν, αὐτεξούσιον εἶναι φά-

erit, quod pleriq; innatum ac fixum menti tenent, delictorum cauſas ſtellarũ motibus eſſe referendas, & vitam noſtram Fati neceſſitatibus dirigi, & gubernari, quemadmodum blaterant qui multa cum iactantia ſtellas obſeruarunt. Nam opinioni potius quam prudentiæ, quod inter veritatem atque mendacium eſt, confiſi, multum a vera rerum cognitione aberrarunt. Hinc ſi permiſeris, o Virtus, poſtquam iam Orationi finem feci, quam tu Domina, vt haberem, impoſuiſti, conabor, te in hoc quoque auxilia præſtante, afflanteque, aduerſus eos qui ægre ferunt, atq; addubitantes contendunt, nos vera minime enunciare, cum ſui arbitrij modique eſſe hominem aſſeueramus, diſcutere, & exacte

examinando confirmare, [a] ſuis ipſorum flagitijs cum vtilia ſuauibus poſthabeãt homines, ingentes angores ſuſtinere. VIRT. *Sed adſum, & vna tecum in certamen deſcendo. Sic enim Oratio ſimilium adiectione abſolute ſuum ornatum conſequetur.* THECL. *Rurſus igitur de his quoque primum pro viribus edifſeramus, eorundem præſtigijs ac ludificationibus denudatis, quibus audaciores efficiuntur, ac ſi ipſi ſoli tantummodo deprehendant, quibus cœlum exornatur figuris ſecundum Aegyptiorum & Chaldæorum principia & hypotheſes. Tradunt ſiquidem*

σκεύσαι τὸν ἄνθρωπον, διακεινήσασθαι, ὅτι, Σφίσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν, αἱρούμενοι τὰ ἡδέα περὶ τῶν συμφερόντων. ἈΡΕ. Ἀλλὰ πάρειμι καὶ συναγωνίζομαι. τελέως γὰρ ὁ λόγος κεκοσμήσεται καὶ τούτων προσαφθέντων. ΘΕΚΛ. Πάλιν οὖν πρῶτον περὶ τῶν τοιούτων εἰς δύναμιν εἴπωμεν, τὴν γοητείαν αὐτῶν, ἐφ' ᾗ θρασύνονται, γυμνώσαντες, ὡς μόνον ὑπειληφότων, ἐξ οἵων ὁ οὐρανὸς κεκόσμηται σχημάτων κατὰ τὰς Αἰγυπτίων, καὶ Χαλδαίων ὑποθέσεις. Φάσκουσι γὰρ ὥσπερ σφαίρας ἐντόρνου στροφαῖς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ κόσμου, τῆς γῆς κέντρου, καὶ σημείου τόπον ἐχούσης. περιφορᾶς

ſphæræ tornatæ flexibus mundi circumferentiam aſſimilari, terram centri, & puncti locum occupare, nanq; cum ſit circumuectio circularis, neceſſe

a Hom. *Odyſſ.* α. 7.

γὰρ οὔσης σφαιρικῆς, ἀνάγκη, φασὶ, κατὰ τὰς ὁμοίας διαστάσεις τῶν αὐτῶν ὄντων διαστημάτων, μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρανὸς περιδινεῖται, πρεσβυτέραν οὖσαν. εἰ γὰρ ἐκ σημείου, καὶ κέντρου περιφέρεια συνέστηκε, καὶ τὸ κατ' αὐτὴν χάος, καὶ βάθος. εἰς χάος γὰρ, καὶ βάθος ὄντως κατωλίσθησαν οἱ σχέτλιοι πλάνης. οἱ γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. καὶ ταῦτα καὶ τῶν παρ' αὐτοῖς εἰρηκότων σοφῶν, ὡς οὐδὲν ὀλυμπίων ἐντιμότερον γηγενοῦς, καὶ πρεσβύτερον. ὅθεν οὐκ ἀεὶ παῖδες ὄντως

ceſſe eſt, inquiunt, ſecundum ſimiles diſtantias paria interualla interijci, mediam in vniuerſo terram collocari, quam circum tanquam antiquiorem cœlum voluitur. Nam ſi ex centro & puncto circumferentia conſtitit, & chaos vtique in ea, & profunditas eiuſmodi erunt: in chaos quippe & profunditatem erroris plane infelices conſiderunt; [a] qui cum agnouiſſent Deum, non ſicut Deum glorificauerũt, aut gratias egerunt, ſed euanuerunt in cogitationibus ſuis, & obtenebratum eſt inſipiens cor eorum. *Idque potiſſimum, cum, qui apud ipſos reputati ſunt ſapientes, affirmauerint, nihil rerum cœleſtium terrenis eſſe pretioſius aut antiquius.*

a Roman. 1, 21.

Hinc qui vere Chriſtum cognouerunt non ſemper pueri ſunt uti ſunt Græci, qui fabulis potius & figmentis aut dicendi artificio veritatem obſtruentes, & cœleſtibus humanas calamitates adaptantes, non ſuffunduntur rubore, dum terræ habitatæ circumuectionẽ geometricis ſpeculationibus, & figuris circumſcribunt, cœlumq; volatilium, & natatilium, necnon & terreſtrium ſimulacris ornatum, & ſiderum qualitates ex infortunijs antiquorum hominum inditas eſſe exiſtimant; ita vt Planetarum motus ex ijs corporibus pendeant. Nam dicunt ſtellas cycli Zodiaci latione volutatas circum duodecim ſignorum naturam conuolui ſic, ut earum commixtione

οἱ Χριστὸν ἐγνωκότες καθάπερ Ἕλληνες, οἱ μύθοις μᾶλλον, καὶ πλάσμασιν, ἢ τέχνῃ τῶν λόγων τὴν ἀλήθειαν χώσαντες, καὶ τοῖς οὐρανίοις τὰς τῶν ἀνθρώπων προσαρμόσαντες συμφοράς, οὐδὲν αἰσχύνονται καταγράφοντες τὴν τῆς οἰκουμένης περιφοράν, γεωμετρικοῖς θεωρήμασι, καὶ σχήμασι τὸν οὐρανὸν εἰδώλοις πτηνῶν, καὶ νυκτῶν, καὶ χερσαίων εἰσηγούμενοι κεκοσμῆσθαι, καὶ τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατεσκευάσθαι. ὥστε τὰς τῶν πλανητῶν αὐτοῖς κινήσεις ἐκ τῶν τοιούτων ἠρτῆσθαι σωμάτων. Εἱλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα Ζωδίων φύσιν φασὶ τοὺς ἀστέρας, ἑλκομένους τῇ τοῦ Ζωδιακοῦ κύκλου φορᾷ. ὡς καὶ διὰ τῆς συγκράσε-

muta-

ὡς αὐτῶν ὁρᾶσθαι τὰ ἀ-
ποβαίνοντα πολλοῖς κα-
τὰ τὰς πρὸς ἀλλήλους
αὐτῶν συναφείας τε, καὶ
ἀποῤῥοίας, ἀνατολάς τε
αὖ καὶ δύσεις. σφαιροει-
δὴς γὰρ ὑπάρχων πᾶς ὁ
οὐρανὸς, καὶ κέντρῳ καὶ ση-
μείῳ κατ' αὐτοὺς τῇ γῇ
χρώμενος, διὰ τὸ πάσας
τὰς περιφορὰς τὰς προσ-
πιπτούσας εὐθείας ἐπὶ
τὴν γῆν ἴσας ἀλλήλαις
εἶναι, ὑπὸ τῶν περιεχόντων
αὐτὸν διακρατεῖ κύκλων.
ὧν μείζων μὲν ὁ μεσημ-
βρινὸς δοκεῖ, καὶ δεύτε-
ρος ὁ εἰς ἴσα τέμνων μέ-
ρη, καλούμενος Ὁρίζων.
τρίτος δὲ ὁ τοῦτον ἐπιδι-
αιρῶν Ἰσημερινός. παρ'
ἑκάτερα δὲ τούτου Τροπι-
κοὶ δύο ὁ θερινὸς, καὶ
χειμερινός. καὶ ὁ μὲν πρὸς
τοῖς ἀρκτίοις, ὁ δὲ πρὸς
τοῖς νοτίοις μέρεσι τούτων.
ὁ χειμερινὸς ἄξων περὶ ὃν
αἵ τε Ἄρκτοι, ὅτι ἀρκτικὸς
ἔμπροσθεν ἔχων τοῦ τροπι-

mutatis coniunctionibus, & influxibus, item ortu atque occaſu proueniant, quæ pleriſque accidunt. Nam cum cœlum in ſphæræ modum ſit conglobatum, & centro punctoque terra vtatur, quod omnes circumactiones recta in terra decidentes, æquales inter ſe ſint, ab ijs, qui ipſum ambiunt, orbibus dominatur; quorum maior meridianus eſſe videtur, ſecundus qui in æquas partes diuidit, & Horizo, ſeu finiens nominatur, tertius, qui eum ſubdiuidit, & vocatur æquinoctialis; ad huius latera duo Tropici æſtiuus, & hyemalis, & hic quidem prope vrſas, alter eſt ad partes auſtrales. hyemalis axis circa quem & vrſæ,

ſæ, & arcticus, Tropicum reſpicit, & vrſæ quidem circum ipſum latæ, & axem polarem amplexæ, vniuerſi mundi motum conficiunt, ad ilia mutuo capita reclinantes, & in noſtro Horizonte nunquam non conſiſtentes. Zodiacus obliquo motu circumactus cyclos alios omnes attingit, numeranturque in ipſo ſigna duodecim quorum vnumquodq; partem illius duodecimam occupat, ab Ariete initiũ ſumunt, finiuntq; in Piſcibus, quæ inter ſtellas fabellis cõmenticijs collocarunt, Arietẽ eſſe, qui Hellem Athamantis filiam, & Phryxum in Scythas aſportauit: caput bubulũ in honorem Iouis, qui ſub Tauri forma Europam in Cretam tra-

κόν. καὶ αἱ μὲν Ἄρκτοι περὶ αὐτὸν στρεφόμεναι μέσον ἔχουσι τὸν διὰ τῶν πόλων Ἄξονα, τὴν τοῦ παντὸς ἀπεργάζονται κίνησιν κόσμου, καὶ τὰς ἀλλήλων ἰξύας ἔχουσαι τὰς κεφαλάς, καὶ ἄχραντοι τοῦ καθ' ἡμᾶς ὁρίζοντος οὖσαι, παρὰ τὸν Ζωδιακὸν κύκλον πάντων ἐφάπτεσθαι τῶν κύκλων, λοξὴν ποιούμενον τὴν κίνησιν, εἶναί τε ἐν αὐτῷ Ζωδίων ἀριθμόν, ἃ καλεῖται Δωδεκατημόρια δώδεκα, ἀπὸ Κριοῦ τὴν ἀρχὴν ἔχοντα μέχρι τῶν Ἰχθύων, ἃ κατηστερίσθαι παριστῶσιν ἐχεμύθοις αἰτίαις, Τὸν μὲν Κριὸν φάσκοντες τὸν τὴν Ἕλλην εἶναι τὴν Ἀθάμαντος διακομίσαντα, καὶ Φρύξον εἰς Σκύθας. τὸ δὲ Βουκέρανον, εἰς τιμὴν Διὸς τοῦ τὴν Εὐρώπην Ταύρου διαπεραιώσαντος εἰς τὴν Κρήτην. καὶ τὸν καλούμενον

iecit:

Γαλαξίαν κύκλον, ὃς τὴν ἀρχὴν ἀπὸ τοῦ Συνδέσμου τῶν Ἰχθύων ἐπὶ τὸν Κριὸν ποιεῖ ἐκ τῶν τῆς Ἥρας μαζῶν Ἡρακλεῖ προχυθῆναι λόγος Διὸς ταγαῖς. ὥστε κατ' αὐτοὺς περὶ τῆς Εὐρώπης, καὶ Φρύξου, καὶ τῶν Διοσκούρων, καὶ τῶν ἄλλων Ζωδίων τῶν ἐξ ἀνθρώπων καὶ θηρίων καταστερισάντων, οὔπω γένεσις ἦν, ἀλλὰ χωρὶς γενέσεως ἐβίωσαν ἡμῶν οἱ παλαιότεροι. Ἐπιχειρητέον γὰρ μήπως τὸ ψεῦδος ἰσχύσωμεν, ὥσπερ ἰατροὶ φαρμάκοις τῶν λόγων ἀμβλύνοντες ἰατικοῖς, σβέσαι τὴν δὲ σκοπούντων τὴν ἀλήθειαν. Εἰ κρεῖσσον ἦν τὸ ὑπὸ τὴν γένεσιν εἶναι τοὺς ἀνθρώπους, ὦ σχέτλιοι, τοῦ μὴ εἶναι, δι' ἣν αἰτίαν οὐκ αὐτόθεν, ἀφ' οὗπερ ἔφυ τὸ γένος τῶν

iecit: & quem vocant Galaxiam, a nexu Piſcium in Arietem effuſum, ex Iunonis mammis Iouis iuſſu in gratiam Herculis promanaſſe. Ergo ante Europam & Phryxum, & Dioſcoros, & alia ſigna, ex hominibus, ac belluis in aſtra relata, ſi fides ipſis habenda eſt, Geneſis nulla aut ſidus natalitium: ſed abſq; Geneſi antiquiores illi vitam egere. Argumentis enim vtendum eſt, ne mendacium robur accipiat, & a nobis medicorum in modum ſermonum remediis ſalubribus eorum conatus, qui veritatem obſcurare moliuntur, infringendi. Si melius erat homines Geneſi ſubiici, quam non ſubiici, o miſeri, quam ob cauſam ſtatim atque humanum

genus procreatum eſt, Geneſis non fuit. Et ſi neceſſaria ſunt, quæ nunc recens inter aſtra relata ſunt, Leo, Cancer, Gemini, Virgo, Taurus, Libra, Scorpius, Aries, Sagittarius, Piſces, Capricornus, Aquarius, Perſeus, Caſſiopeia, Cepheus, Pegaſus, Hydra, Coruus, Crater, Lyra, Draco, & alia, quibus exornatos polos hanc mathematicam doctrinam, imo potius deteſtandam prænotionem habuiſſe opinamini, aut etiam in his, qui ante dicta ſigna vita fruebantur, Geneſis erat, & inepta eſt hæc opinio, aut non erat, & in meliorem ſtatum ac firmitatem Deus vitam hanc commutauit, quando antiqui illi cũ peiore vitæ ratione colluctabantur; at meliores

nunc

ἀνθρώπων, γένεσις ἦν. Εἰ δὲ ἦν τις χρεία τῶν ὑπόγειον καταστερισθέντων. Λέοντος, Καρκίνου, Διδύμων, Παρθένου, Ταύρου, Ζυγοῦ, Σκορπίου, Κριοῦ, Τοξότου, Ἰχθύων, Αἰγοκέρωτος, Ὑδροχόου, Περσέως, Κασσιεπείας, Κηφέως, Πηγάσου, Ὕδρας, Κόρακος, Κρατῆρος, Λύρας, Δράκοντος, καὶ τῶν ἄλλων, ἐξ ὧν ἡγεῖσθε κατακοσμηθέντας τοὺς πόλους κατειληφέναι τὴν μαθηματικὴν ταύτην, μᾶλλον ἢ καταθεματικὴν πρόγνωσιν. Ἤτοι οὖν καὶ ἐπὶ τῶν ἔμπροσθεν γένεσις ἦν, καὶ μάταιος ἡ τοιαύτη δόξα, ἢ οὐκ ἦν, καὶ εἰς τὴν κρείσσονα κατάστασιν, καὶ διαμονὴν ὁ Θεὸς τὸν βίον μετέστησε, τῶν ἔμπροσθεν χείρονα βιωσάντων χρόνον. Ἀλλὰ κρείττους οἱ-

παλαιότεροι τῶν νῦν. ὅθεν καὶ χρυσοῦ ἐκλήθησαν γένος. οὐκ ἄρα γένεσις. Εἰ ὁ ἥλιος καθιππεύων τοὺς κύκλους, καὶ ἐπιπορευόμενος ἐτησίοις τὰ ζώδια περιόδοις μεταβολὰς ἀποτελεῖ, καὶ τὰς τροπὰς τῶν καιρῶν, οἱ πρὸ τοῦ καταστερισθῆναι τὰ ζώδια γεγονότες, καὶ κοσμηθῆναι τούτοις τὸν οὐρανὸν, πῶς διήρκεσαν, μηδέπω θέρους, μετοπώρου, χειμῶνος, ἔαρος διακεκριμένων, δι' ὧν ἡ τοῦ σώματος αὔξεται, καὶ συγκρατεῖται φύσις. Ἀλλ' ἐξήρκεσαν, καὶ πολυχρονιώτεροι γεγόνασι, καὶ ῥωμαλεώτεροι παρὰ τοὺς νῦν, ὁμοίως καὶ τότε διευθύνοντος τοὺς καιροὺς τοῦ Θεοῦ. οὐκ ἄρα ἐκ τούτων ὁ οὐρανὸς πεποίκιλται σχημάτων. Εἰ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ

nunc viuentibus illi fuere, vnde etiam & generis aurei nomen conſecuti ſunt. Non erat igitur Geneſis. Si Sol circulis obequitans, & per ſigna annuis circuitibus gradiens immutationes, & temporum conuerſiones abſoluit, qui antequam ſigna in cœlo, quibus illud adornatur, collocarentur, nati ſunt quomodo ſuſtentari potuerunt, cum æſtas, autumnus, hyems, & ver non diſcernerentur, quibus corporis accreſcit, & confirmatur conditio? At ſuſtinuerunt, & pari modo tum quoque Deo tempora diſponente, multo validiores, & ætate etiam diuturniore vitam produxere, quam qui nunc ſunt. Non igitur his cœlum figuris interſtinctum eſt. Si ſol, & luna,

&

& reliqua ſidera ad diſcernendum, & tempus naturale numerandum, necnon ad cœli ornatum, & temporum conuerſiones facta, diuinioris ſunt naturæ & humana hac præſtātiora neceſſe eſt eadem, & vitam excellentiorem, & beatam atque tranquillam, & multo a vita noſtra & iuſtitia & virtute differentem, motu ordinato, & felici ſeſe mouentia agere: quod ſi hominum calamitates atque improbitates efficiunt, & operantur, intemperiebus, & mutationibus, & vitæ conuerſionibus incumbentia, multo igitur ſunt hominibus infeliciora, cum in terram, & fragiles atque nefarias actiones intueantur, & eadem atq;

τὰ ἄλλα ἄστρα τὰ εἰς διορισμὸν, καὶ φυσικὸν ἀριθμὸν χρόνου γεγονότα, καὶ κόσμον οὐρανοῦ, καὶ τροπὰς καιρῶν, θεῖα ἐστὶ, καὶ κρείττω τῶν ἀνθρώπων ἀνάγκη, καὶ κρείττονα βίον, καὶ μακάριον αὐτὰ, καὶ εἰρηνικὸν, καὶ πολλῷ τοῦ ἡμετέρου βίου διαλλάσσοντα δικαιοσύνῃ καὶ ἀρετῇ διάγειν, κινούμενα κίνησιν εὔτακτον, καὶ εὐδαίμονα. Εἰ δὲ τὰς τῶν θνητῶν συμφορὰς, καὶ κακοφροσύνας αὐτὰ τεκταίνεται, καὶ ἐνεργεῖ περὶ τὰς ἀσελγείας ἀσχολούμενα, καὶ τὰς μεταβολὰς, καὶ τὰς ἀρεπὰς τοῦ βίου. ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστὶν, εἰς τὴν γῆν βλέποντα, καὶ τὰς ἐπικήρους, καὶ ἀθέσμους πράξεις, καὶ μηδὲν κρεῖττον τῶν ἀνθρώπων διάγοντα. Εἴγε τῆς ἐκείνων

homines ratione regantur. Quodſi ex earum

de-

ἀποῤῥοίας, καὶ κινήσεως ὁ ἡμέτερος ἤρτηται βίος. εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐνδείας, ἀνενδεὲς δὲ τὸ Θεῖον, ἀνεννόητον ἄρα πονηρίας. καὶ εἰ ἡ τῶν ἄστρων φύσις ἐγγυτέρω τέτακται τοῦ Θεοῦ, κρείσσων ἐστὶ τῆς τῶν κρειττόνων ἀνθρώπων ἀρετῆς ἀνεννόητον κακίας, εἰ δὲ ἀνενδεῆ τὰ ἄστρα καὶ ἄλλος πᾶς ἡμῖν ὁμολογήσει τῶν πρεσβευόντων τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας εἶναι θεῖα, καὶ μακρὰν ἀπῳκίσθαι κακίας, καὶ τῶν γηγενῶν πράξεων. ἀνεπίδεκτα πάθους, ἡδονῆς ὄντα καὶ λύπης. οὐ γὰρ προσεῖναι τοῖς οὐρανοῖς τοιαύτας ὀρέξεις βδελυκτάς. εἰ δὲ τούτων ἐκτός ἐστι καὶ ἀνενδεῆ πεφύκασι, πῶς τοῖς ἀν-

defluxu, motuq; noſtra vita pendet ; ſi quæcunq; actio abſq; deſiderio non fit, neq; deſiderium abſque indigentia. Numen vero nullius indigum improbitatem non comminiſcitur: & ſi ſtellarum natura Deo quam proxima, ideo præſtantiſſimorum hominum virtute multo præſtantior; non recipit malitiam. Et citra indigentiam eſſe ſtellas, confitebuntur equidem quicunque & ſolem & lunam, & ſtellas diuina eſſe aſſeuerant, & longe a malitia, & actionibus humanis abeſſe, cum in ſeſe neq; affectionem, neque lætitiam, neque mœrorem admittant: neq; enim cœleſtibus ſimilia execranda deſideria adnaſcuntur: Quodſi extra ſimilia ſunt, nulliuſque indigent, quanam ratione

tione

tione hominibus, quæ ipſæ nolunt, & a quibus longe abſunt, inſinuabunt? Qui porro decernunt, hominem ſui arbitrij non eſſe, ſed neceſſitatibus ineuitabilibus Fati, & non ſcriptis imperijs dirigi & cogi, in ipſum Deum iniurij ſunt, cum eum humanorum malorum fontem & auctorem faciant. Nam ſi ille vniuerſum ſtellarum motum orbicularem ſapientia inenarrabili, quam nec mens ipſa conſequitur, clauum orbis dirigens concinne admodum gubernat: ſtellæ vero qualitates malitiæ & virtutis in vita operantur, neceſſitatis vinculis homines in ea compellentes, cauſam malorum Deū decernunt, datoremq;

θρώποις, ἃ μὴ αὐτοὶ βούλονται, καὶ ὧν ἐκτός εἰσι, τεκταίνονται. Οἱ δὲ ὁριζόμενοι μὴ εἶναι τὸν ἄνθρωπον αὐτεξούσιον, ἀλλὰ ἀνάγκαις ἀφύκτοις εἱμαρμένης λέγοντες οἰακίζεσθαι, καὶ ἀγράφοις προστάγμασιν, εἰς αὐτὸν ἀσεβοῦσι τὸν Θεὸν, παρεκτικὸν τῶν ἀνθρωπίνων αὐτὸν κακῶν καὶ ποιητὴν εἰσηγούμενοι. Εἰ γὰρ τὴν τῶν ἀστέρων ἅπασαν κυκλικὴν κίνησιν ἐμμελῶς αὐτὸς ἀφράστῳ σοφίᾳ, καὶ ἀνεννοήτῳ διέπει, κατευθύνων τὸν οἴακα τῆς οἰκουμένης, οἱ δὲ ἀστέρες τὰς ποιότητας τῆς κακίας, καὶ τῆς ἀρετῆς ἐκτελοῦσι τῷ βίῳ, ἀνάγκης δεσμοῖς τοὺς ἀνθρώπους ἕλκοντες εἰς ταῦτα, αἴτιον τῶν κακῶν τὸν Θεὸν ἀποφαίνονται, καὶ δότην. ἀλλ' ἀναίτιος πάσης βλάβης

Sed nullius noxæ Deus cauſa eſt. Fruſtra igitur

Gene-

ὁ Θεὸς. οὐκ ἄρα γένεσις. Πᾶς ὅστις, κἂν βραχὺ συνετὸς, ὁμολογήσει τὸ θεῖον δίκαιον, ἀγαθὸν, σοφὸν, ἀληθὲς, ὠφέλιμον, ἀναίτιον κακῶν, ἀσύμπλοκον πάθους, καὶ πᾶν ἔτι τοιοῦτον. καὶ εἰ οἱ δίκαιοι κρείσσους εἰσὶ τῶν ἀδίκων, καὶ ἐστὶν αὐτοῖς ἡ ἀδικία βδελυκτὴ, χαίρει δὲ ὁ Θεὸς τῇ δικαιοσύνῃ, δίκαιος ὢν, στυγητὴ αὐτῷ ἡ ἀδικία ἐναντίον οὖσα, καὶ ἐχθρὸν τῇ δικαιοσύνῃ. οὐκ ἄρα ἀδικίας αἴτιος ὁ Θεός. Εἰ τὸ ὠφελοῦν ὄντως, καὶ ἀγαθὸν. ὠφέλιμον δὲ σωφροσύνη καὶ οἴκῳ, καὶ βίῳ, καὶ φιλίᾳ. ἀγαθὸν ἄρα ἡ σωφροσύνη ἐστὶ. καὶ εἰ ἡ σωφροσύνη φύσει ἀγαθὸν, ἀκολασία δὲ ἐναντίον σωφροσύνῃ, τὸ δὲ ἐναντίον τοῦ ἀγαθοῦ κακόν. κακὸν ἄρα ἡ ἀκο-

Geneſis aſſeritur. Quicunque vel minimum pectore ſapit fatebitur, Numen iuſtum, bonum, ſapiens, verum, proficuum, nullius mali originem, imperturbatum, & ſi quid ſimile eſt. Et ſi iuſti iniuſtis præſtantiores ſunt, & iniuſtitiam abominantur, Deo vero, qui iuſtus eſt, & iuſtitia delectatur, iniuſtitia plane, quod oppoſitum eſt, & iuſtitiæ aduerſatur, abominabilis fuerit. Non erit itaque iniuſtitiæ Deus auctor. Si quod vere vſui eſt, & prodeſt, bonum quoque eſt, temperantia vero & domui, & vitæ, & amicitiæ vtilis eſt, bonum vtique erit temperantia: Et ſi temperantia natura ſua bonum; intemperantia autem temperantiæ opponitur; quod autem bono opponitur malum eſt.

ma-

malum igitur intemperantia eſt: Et ſi intemperantia natura ſua malum eſt, & propter intemperantiam adulteria, & furta, & iræ, & cædes fiunt. Ergo vitæ ratio intemperans malum eſt. Numen autem cum malis nullam init ſocietatem. Si temperãtes intemperantibus meliores ſunt, & intemperantiam execrantur: nam Deus temperantia gaudet, cum nec affectiones plane concipiat. execranda igitur eſt Deo incontinentia. Actionem vero, quæ ex temperantia naſcitur, cum virtus ſit, potiorem eſſe ipſa intemperantia, quod vitium eſt, addiſcere poſſumus a Regibus, principibus, ducibus, mulieribus, filijs, ciuibus, Dominis, ſeruis, pædagogis, ac denique magiſtris: horum ſiquidem ſin-

λασία. καὶ εἰ ἡ ἀκολασία φύσει κακὸν, καὶ διὰ τὴν ἀκολασίαν δὲ μοιχεῖαι γίνονται, καὶ κλοπαὶ, καὶ ὀργαὶ, καὶ φόνοι. ἄρα κακόν ἐστιν ὁ ἀκόλαστος βίος. τὸ δὲ Θεῖον κακῶν ἀσύμπλοκον πέφυκεν. Εἰ οἱ σώφρονες βελτίους εἰσὶ τῶν ἀκολάστων, καὶ ἔστιν αὐτοῖς ἡ ἀκρασία βδελυκτὴ. χαίρει γὰρ ὁ Θεὸς τῇ σωφροσύνῃ, παθῶν ἀνεννόητος ὢν, στυγητὴ ἄρα καὶ τῷ Θεῷ ἡ ἀκρασία. ὅτι δὲ ἡ κατὰ σωφροσύνην πρᾶξις ἀρετὴ οὖσα κρείττων ἐστὶ τῆς κατὰ ἀκρασίαν, κακίας οὔσης, μαθεῖν ἐστιν ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ γυναικῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ δεσποτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ παιδαγωγῶν, ἀπὸ διδασκάλων. ἕκαστος γὰρ τούτων, καὶ

ἑαυτῷ, καὶ τῷ κοινῷ ὠφέλιμος γίνεται, σωφρονῶν. ἀκολασταίνων δὲ καὶ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός. Καὶ εἰ ἔστι διαφορά τις κιναίδων, καὶ ἀνδρείων, καὶ ἀκολάστων, καὶ σωφρόνων, καὶ ἔστι κρείσσων ἡ τῶν ἀνδρείων καὶ σωφρόνων, χείρων δὲ ἡ τῶν ἐναντίων. οἱ δὲ τοῦ κρείσσονος ἐγγύς εἰσι, καὶ φίλοι Θεοῦ, οἱ δὲ τῆς χείρονος μακράν, καὶ ἐχθροί, οἱ λέγοντες γένεσιν, τὸ αὐτὸ τὴν ἀδικίαν, καὶ τὴν δικαιοσύνην εἶναι δοξάζονται, κιναιδίαν καὶ ἀνδρείαν, ἀκρασίαν καὶ σωφροσύνην. ὅπερ ἀδύνατον. Εἰ γὰρ τῷ κακῷ τὸ ἀγαθὸν ἐναντίον, τὸ δὲ ἄδικον κακόν, τούτῳ δὲ ἐναντίον τὸ δίκαιον. τὸ δὲ δίκαιον ἀγαθόν, τὸ δὲ ἀγαθὸν ἐχθρὸν τοῦ κα-

ſinguli, ſi continentiæ operam dant, & ſibimetipſis, & reipublicæ æmolumento ſunt: ſi vero intemperanter rebus ſuis vtuntur, & ſibimetipſis, & publico damno ſunt. Et ſi eſt differentia aliqua inter cinædos, & viros fortes temperantes atq; intemperantes, & eſt multo præſtantior conditio fortium & temperantium, deterior contrariorum: & qui præſtantioris ſunt proxime ad Deum accedunt, & Deo amici, qui deterioris longe diſtant, & inimici, qui Geneſim aſtruunt, idem eſſe iuſtitiam & iniuſtitiam, cinædicam impudicitiam & fortitudinem, intemperantiam atque temperantiam decernunt; quod plane fieri nequit. Etenim ſi malo bonum opponitur, & iniuſtum malum eſt, iniuſto vero contrarium iuſtum: iuſtú ve-

vero bonum, & bonum malo inimicum, & malum bono aſſimile non eſt. aliud igitur eſt iuſtum, aliud iniuſtum. Non eſt ergo malorum auctor Deus, neque malis delectatur, nec ipſos ratio commendat quæ bona eſt. Quod ſi improbi nonnulli ſunt, defectu mentis, & non Geneſi, [a] ſuis ipſorum flagitijs ingentes angores ſuſtinent. *Si contrucidare aliquem, & cædibus manus contaminare Geneſis efficit: hoc autem facinoroſis pœnas præſcribens, & minis etiam ſtatuta Geneſis, iniuſtitiam ſcilicet, adulterium, furtum, veneficium coërcens lex probibet. Lex ergo Geneſi aduerſatur. Quæcumque enim Geneſis ſtatuit, lex probibet. Nam ſi quæ lex vetat, ad ea Geneſis*

κοῦ. ἀνόμοιον δὲ τὸ κακὸν τοῦ ἀγαθοῦ. ἕτερον ἄρα τὸ δίκαιον τοῦ ἀδίκου. οὐκ ἄρα αἴτιος κακῶν ὁ Θεὸς, οὐ δὲ χαίρει τοῖς κακοῖς. οὐ συνίστησιν αὐτοὺς ὁ λόγος ἀγαθὸς ὤν. Εἰ εἰσὶ δὲ πονηροί τινες, κατὰ ἔνδειαν φρενῶν εἰσὶν οὗτοι πονηροὶ, καὶ οὐ κατὰ γένεσιν, Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε᾽ ἔχοντες. Εἰ τὸ ἀνελεῖν τινὰ καὶ φόνῳ τὰς χεῖρας αἱμάξαι, γένεσις ἐργάζεται, τοῦτο δὲ νόμος κωλύει κολάζων τοὺς ἀλάστορας, καὶ δι᾽ ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα, οἷον τὸ ἀδικῆσαι, μοιχεύσασθαι, κλέψαι, φαρμακεῦσαι. ἐναντίον ἄρα νόμος γενέσει. ὅσα μὲν γὰρ γένεσις ὥρισε, ταῦτα νόμος κωλύει. Εἰ γὰρ ὅσα νόμος κωλύει, ταῦτα γέ-

a Homer. α. 7.

etiam

νεσις ποιεῖν βιάζεται. ἄρα τῆς γενέσεως πολέμιον ὁ νόμος. εἰ δὲ πολέμιον, οὐκ ἄρα κατὰ γένεσιν γεγόνασιν οἱ νόμοι. οἱ γὰρ ἐναντία δογματίζοντες γενέσει γένεσιν λύουσιν. Εἴτοι οὖν γένεσις ἐστὶ, καὶ οὐκ ἔχρην εἶναι νόμους, ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ γένεσιν. ἀλλὰ ἀμήχανον χωρὶς γενέσεως φῦναι τινὰ, ἢ διαπράξασθαί τι. οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναι, φασὶ, χωρὶς Εἱμαρμένης κινῆσαι τινί. κατὰ γένεσιν ἄρα, ὁ Μίνως, ὁ Δράκων, καὶ Λυκοῦργος, ὁ Σόλων, ὁ Ζάλευκος νομοθέται φύντες διετάξαντο τοὺς νόμους, ἀπαγορεύοντες, μοιχείας, φόνους, βίας, ἁρπαγὰς, κλοπὰς, ὡς οὐκ ὄντων τούτων, καὶ γινομένων κατὰ γένεσιν. εἰ δὲ κατὰ γένεσιν καὶ ταῦτα, οὐ

etiam inuitos compellit. Geneſim itaque lex oppugnat. Et ſi oppugnat, non ergo Geneſis vi latæ ſunt leges, cum oppoſita præcipiunt, & Geneſim Geneſi deſtruunt. aut ergo Geneſis eſt, & non erat opus, vt leges eſſent: aut ſunt leges, & Geneſim auctricem non agnoſcunt. Fieri nequit, vt abſque Geneſi progeneretur quis, aut aliquid abſoluat: neque enim digitum, inquiunt, quiſpiam modo ſuo mouebit, ſi Fatum non præmouerit. Geneſi itaq; compellente & Minos, & Draco, & Lycurgus, & Solo, & Zaleucus legumlatores leges ipſas præſcripſerunt, probibentes adulteria, cædes, iniurias, rapinas, latrocinia, quaſi iſta neque ex Geneſi ſint, neq; ex Geneſi producantur.

Nanque ſi hæc Geneſim agnoſcunt, leges non erunt ex Geneſi: ſic enim Geneſis ab ſe ſola, ipſa ſemetipſam irritans, & ſibimetipſi aduerſans deſtruetur. & nunc quidem leges fert, adulteria & cædes vetantes, & caſtigantes, & ſupplicio improbos conſtringẽtes: nunc vero cædes & adulteria efficit. Hoc autem fieri nequit. Nihil enim eſt a ſe ipſo diuerſum, & ſui ipſius aduerſum, & ſe ipſum deſtruens, & a ſe ipſo diſcordans. Nulla igitur Geneſis eſt. Si geneſis vi efficitur quidquid eſt, & abſque geneſi nil eſt, neceſſe eſt & legem geneſi latam fuiſſe. At lex geneſim deſtruit, doceri poſſe virtutem dictitans, & ſtudio atque diligentia comparari, fugiendum vero vitium, quod ex

κατὰ γένεσιν οἱ νόμοι. οὐ γὰρ ἂν αὐτὴ ἀφ' ἑαυτῆς ἀνῃρεῖτο γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα, καὶ αὐτὴ ἑαυτῇ μαχομένη, καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ φόνων νόμους τιθεμένη, καὶ τιμωρουμένη τοὺς κακούς, ἐνταῦθα δὲ φόνους, καὶ μοιχείας ἐργαζομένη. ἀλλὰ τοῦτο ἀδύνατον. οὐδὲν γὰρ ἀλλόκοτον αὐτὸ ἑαυτοῦ, καὶ αὐτὸ ἑαυτῷ ἀπεχθανόμενον, καὶ αὐτὸ ἑαυτὸ καταλύον, καὶ ἀσύμφωνον αὐτὸ ἑαυτῷ. οὐκ ἄρα γένεσις. Εἰ κατὰ γένεσιν πᾶν ὁτιοῦν γίνεται, καὶ ἐστὶ δίχα γενέσεως οὐδέν, ἀνάγκη καὶ τὸν νόμον γενέσει γεγονέναι. ἀλλὰ νόμος γένεσιν ἀναιρεῖ, διδακτὴν διδάσκων τὴν ἀρετὴν, καὶ ἐξ ἐπιμελείας περιγινομένην, φευκτὴν δὲ τὴν κακίαν, καὶ

ἐξ ἀπαιδευσίας φυομένην. οὐκ ἄρα γένεσις. Εἰ τὸ ἀλλήλους ἀδικεῖν, καὶ τὸ ὑπ' ἀλλήλων ἀδικεῖσθαι γένεσις τελεῖ. τίς χρεία νόμων; εἰ δὲ ἵνα τοὺς ἁμαρτάνοντας ἀμύνωνται, φροντίζοντος Θεοῦ τῶν ἀδικουμένων, ἄμεινον ἦν τὸ κακὸν μὴ ποιῆσαι, καθ' εἱμαρμένην, ἢ μετὰ τὸ ποιῆσαι νόμον ἐπιτεθεῖναι. ἀλλ' ἀγαθὸς ὁ Θεὸς, καὶ σοφὸς, καὶ τὰ κρείσσω ποιῶν, οὐκ ἄρα γένεσις. Ἤτοι ἀνατροφαὶ, καὶ τὰ ἔθη τῶν ἁμαρτημάτων εἰσὶν αἴτια, ἢ τὰ πάθη τῆς ψυχῆς, καὶ αἱ διὰ σώματος ἐπιθυμίαι. ὁπότερον δ' ἂν τούτων ᾖ τὸ αἴτιον, Θεὸς ἀναίτιος. Εἰ κρεῖσσόν ἐστι τὸ δίκαιον εἶναι τοῦ ἀδίκου, διατί τοιοῦτος αὐτόθεν ὁ ἄνθρωπος ἀπὸ τῆς γενέσεως οὐ γίνεται, εἰδ'

inſcitia naſcitur. Geneſis igitur non eſt. Si, vt alter alteri iniuriam inferat, & alter ab altero iniuriam ſuſtineat, Geneſis facit; quæ fuerit legum neceſſitas? Quodſi vt in delinquentes ſupplicio animaduertatur, curam Deo gerente eorum, qui iniuria afficiuntur, ſatius erat vi Fati malum non fieri, quã poſt factum legem imponi. Sed bonus Deus eſt, & ſapiens, & meliora operans. Fruſtra ergo Geneſis aſſeritur. Porro ſiue educationes, & conſuetudines delictorum cauſa ſint, ſiue perturbationes animi, & quæ corporis cauſa ingenerantur cupiditates; quidquid ex his cauſa fuerit, certe Deus cauſa non eſt. Si præſtantius eſt iuſtum iniuſto, quam ob cauſam talis homo ab ipſa Geneſi non pro-

procreatur ? Sed poſtmodum, vt melior fiat, diſciplinis & legibus commonetur. veluti ergo ſui arbitrij vir commonetur, & non quaſi ex natura eſſet malus. Si mali mali ſunt, ita procurante Geneſi, neque criminationi obnoxij erunt, neque digni punitione, quam leges conſtituunt, cum vitam ex inſtituto ſuæ naturæ traducunt, quandoquidem non valuerunt immutari. Alio quoque modo. Si boni propriæ naturæ conditione vitam agentes, laudabiles non ſunt, cum Geneſis cauſa ſit, vt boni boni ſint. Neque igitur improbi, vt vt propria natura compellit, viuentes, apud rectum iudicem accuſandi ſunt. Et vt palam aperteq; enunciem, qui ſecundum innatam naturam viuendi ſibi modum inſti-

ὕστερον, ὅπως ἀμείνων γεννηθῇ σωφρονίζεται μαθήμασι, καὶ νόμοις. ὡς αὐτεξούσιος ἄρα σωφρονίζεται. καὶ οὐχ ὡς ἐκ φύσεως ὢν κακός. Εἰ οἱ πονηροὶ κατὰ γένεσιν, προνοίας ταύτης οὐκ εἰσὶ μεμπτοὶ καὶ ἄξιοι τιμωρίας τῆς ἐκ τῶν νόμων, ζῶντες κατὰ τὴν οἰκείαν φύσιν, ἐπεὶ μὴ δεδύνηνται μεταβληθῆναι. καὶ ἄλλως. Εἰ οἱ ἀγαθοὶ κατὰ τὴν οἰκείαν φύσιν ζῶντες εἰσὶν ἐπαινετοὶ, τῆς γενέσεως οὔσης αἰτίας τοῦ εἶναι αὐτοὺς ἀγαθοὺς ἀγαθούς. οὐδὲ οἱ πονηροὶ ἄρα κατὰ τὴν οἰκείαν φύσιν ζῶντες αἰτιατέοι παρὰ δικαίῳ κριτῇ. Καὶ εἰ χρὴ διαῤῥήδην εἰπεῖν, ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν, οὐδὲν ἁμαρτάνει. οὐ γὰρ ἑαυτὸν ἐποίησε τοιοῦ-

τον, ἀλλ' ἡ Εἱμαρμένη, καὶ ζῇ κατὰ τὴν ταύτης κίνησιν ἀγόμενος ἀφύκτοις ἀνάγκαις. οὐδεὶς οὖν κακός. ἀλλ' εἰσὶ κακοί. καὶ ἡ μὲν κακία ἐχθρὰ, καὶ ψεκτὴ τῷ Θεῷ, ὡς συνέστηκεν ὁ λόγος. ἡ δὲ ἀρετὴ προσφιλὴς, καὶ ἐπαινετὴ, Θεοῦ διατάξαντος νόμον τιμωρητικὸν τῶν κακῶν. οὐκ ἄρα Εἱμαρμένη. Καὶ τί τοσοῦτον ἐπιδιατρίβουσα τοῖς ἐλέγχοις εἰς μῆκος ἐξάγω τὸν λόγον, τὰ ἀναγκαιότατα, καὶ χρήσιμα πρὸς πειθὼ, καὶ συγκατάβασιν τοῦ συμφέροντος ἐκθεμένη, πρόδηλον πᾶσι δι' ὀλίγων τὴν διαφωνίαν τοῦ τεχνάσματος αὐτῶν ἐξεργασαμένη, ὥστε διορᾶν ἐξεῖναι καὶ θεᾶσθαι τὴν πλάνην ἤδη, καὶ παιδίῳ,

